*Αἴσωπος, οὐχ ὁ μυθοποιός, ἔγραψε περὶ Ἑλένης, ἔνθα φησὶ πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη, ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα.*

## XIII. *Βίων.*

*Βίων ὁ Βορυσθενίτης ἔλεγε μὴ εἶναι θεούς, διὸ καί ἐστιν εἰς αὐτὸν ἐπίγραμμα·*

*Βίωνα, τὸν Βορυσθένης ἔφυσ' ἐν γῇ Σκυθίσσῃ,*
*λέγειν ἀκούομεν θεούς, ὡς οὐδέν εἰσιν ὄντως.*
*κ' εἰ μὲν τὸ δόγμα τοῦτ' ἔχων ἔμιμνεν, ἦν ἂν εἰκὸς*
*λέγειν, φρονεῖν ὅπως δοκεῖ κακῶς μέν, ἀλλ' ἔδοξε.*
*νῦν δ' εἰς νόσον πεσὼν μακρὴν καὶ μὴ θάνῃ δεδοικώς,*
*ὁ μὴ θεοὺς εἶναι λέγων, ὁ νηὸν οὐδὲ βλέψας,*
*ὁ πολλὰ χλευάσας βροτούς, ὅσοι θεοῖς ἔθυον,*
*οὐ μόνον ἐσχάρης ὕπερ, βωμῶν τε καὶ τραπέζης,*
*κνίσσῃ, λίπει, θυήμασιν θεῶν ἔδαισε ῥῖνας,*

XII. Suidas (Eudocia p. 67). XIII. Diog. IV, 55—57.

---

1 *οὐχ ὁ μυθοποιός* om. Suidas Eudocia, ille habet *Μιθριδάτου ἀναγνώστης*, Eud. *Μ. ἀν. σοφιστής* *Ἑλλένης* B 2 *ἐν ᾧ φησι* Suidas Eudocia *ἰχθὺν κητώδη καλ.* Eudocia 7 *ὃν ἔφυσεν ἡ Σκυθὶς αἶα* A *ἔφησεν ἡ σκύθισα* (om. *ὃν*) Ba *τὸν ἔφησεν ἡ σκύθισα* C *ὃν ἔφυσ' ἡ Σκυθὶς αἶα* e coni. Iunii Or. *τὸν Βορυσθένης ἔφυσε γῇ Σκύθισσα* (sic!) Diogenes (in apparatu Wachsmuthii: *ὃν* om. BHV *ἔφησεν* BV *ἔφησεν* corr. in *ἔφυσεν* H *σκύθειστα* B) Müller, nos *ἐν γῇ Σκυθίσσῃ* tentavimus 11 *ἐς* Diogenes Müller 12 *ὁ νηὸν* AC Diogenes *ὀνησυν* (sic B) *ὄνησυν* a, quod correxit Iunius 13 *ὁ — χλευάσας* om. C *οἳ τοῖς* Or. *οἳ* sed *τοῖς* om. ABCa, unde *ὅσοι* pro *οἳ* in antiquis exemplaribus scriptum fuisse apparet, *ὅσοι θεοῖς* Diogenes Müller 14 *καὶ τραπέζης* om. BCa 15 *θυηλήμασι* ABCa *θυήμασι* ex Diogene corr. Iunius, rec. Or. *θυήμασιν* Müller *ἔδισε* ABCa *ἔδαισε* ex Diogene corr. Iunius, rec. Müller

οὐδ' εἶπε μοῦνον· ἤλιτον, σύγγνωτε τοῖς πρίν, ἀλλα
καὶ γραΐ δῶκεν εὐμαρῶς τράχηλον εἰς ἐπῳδήν,
καὶ σκυτίσιν βραχίονας πεπεισμένως ἔδησε,
ῥάμνον τε καὶ κλάδον δάφνης ὑπὲρ θύρην ἔθηκεν,
ἅπαντα μᾶλλον ἢ θανεῖν ἕτοιμος ὢν ὑπουργεῖν,
μωρὸς δ', ὃς ἤθελέν τινος μισθοῦ τὸ θεῖον εἶναι,
ὡς τῶν θεῶν ὄντων, ὅταν Βίων θέλῃ νομίζειν,
τοιγὰρ μάτην φρονῶν, ὅτ' ἦν ἅπας ὁ λέμβος ἄνθραξ.
τὴν χεῖρα τείνας ὧδέ πως, χαῖρ', εἶπε, χαῖρε, Πλουτεῦ.

## XIV. Βίων ἄλλος.

Βίων ἄλλος Ἀβδηρίτης ἔγραψεν, εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν.

## XV. Γενέθλιος ὁ Παλαιστῖνος.

Γενέθλιος ὁ Παλαιστῖνος ἐν ἀκροάσει μιᾷ μελέτην ὅλην ἀπεμνημόνευσεν.

## XVI. Δαφίδας.

Δαφίδας ὁ Τελμισσεὺς πᾶσιν ἐλοιδορεῖτο, μηδὲ αὐτῶν φειδόμενος τῶν θεῶν, διὸ καὶ ἐχθρὸς ἦν Ἀτ-

XIV. Diog. IV, 58. XV. Suidas (Eudocia p. 100). XVI. Suidas (Eudocia p. 132 haec omisit).

1 *ἄλιτον* ABCa *ἤλιτον* Diogenes Müller 3 *σκυτίσι* ABCa *σκυτίσιν* Diogenes Müller *καὶ κύστισι* propter primam in *σκυτίσιν* contra morem productam tentavit Salmasius ad Solin. p. 370 *πεπεισμένος* ABCa *πεπεισμένως* corr. Casaubonus *πεπεισμένος γ'* proposuit Or. 6 *ἤθελε* libri omnes *ἤθελεν* Diogenes Müller 8 *ὁτηναπασσόλεμβος* Ba *ὁτηναπασσόλεμνος* C (*ν* et *β* mutatis) *ὅτ' ἦν ἅπας ὁ λέμβος* A 9 *τὴν δὲ* ABCa corr. Or. 10 *Αὐδερίτης* C 13 *Παλαιστηνὸς* ABCa *Παλαιστῖνος* am *μιᾷ* om. Suidas sed addendum putaverunt Meursius et Küsterus, add. Westermann 15 *Τελμισσεὺς* ABCa *Τελμησσεὺς* Or. Verbo *Περγάμου* desinit cod. C

τάλῳ τῷ βασιλεῖ Περγάμου. οὗτος ἐλθών ποτε εἰς Πυθίαν ἔσκωπτεν εἰς τὸ μαντεῖον· καὶ ἐπεγγελῶν ἠρώτα, εἰ τὸν ἵππον εὑρήσοι. ἔχρησε δὲ αὐτῷ εὑρήσειν ταχέως. ἐκεῖνος δὲ διεθρύλλησε τοῦτο, ὡς οὐδὲ ἦν αὐτῷ ἵππος, οὐδὲ ἀπώλετο. ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐκέλευσε κρημνισθῆναι. ὁ δὲ τόπος, ἐν ᾧ τοῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος, καὶ ἔγνω πρὸς τῷ θανάτῳ, μὴ ἐψεῦσθαι τὸ λόγιον.

## XVII. *Διαγόρας.*

*Διαγόραν* τὸν Τηλεκείδου εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ τῇ λυρικῇ ἐπέθετο. ἐπεκλήθη δὲ ἄθεος, ὅτι ὁμότεχνός τις αἰτιαθεὶς ὑπ' αὐτοῦ, ὡς δὴ παιᾶνα ὑφελόμενος, ὃν αὐτὸς ἐποίησεν, ἐξωμόσατο μὴ κεκλοφέναι αὐτόν, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. ἐντεῦθεν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς ἀποπυργίζοντας λόγους, ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης.

## XVIII. *Διόδωρος.*

*Διόδωρος* Ἰασεύς, ὁ Κρόνος ἐπίκλην, διαλεκτικός, ὃς πρῶτος ἔδοξεν εὑρεῖν τὸν κερατίνην καὶ τὸν

XVII. Suidas. XVIII. Diog. II, 111 *ἐξελθὼν δὲ — κάππα τε* 112, *περὶ τούτου* — exit. 111.

---

2 *ἔσκωπτεν* ABCa *ἔσκωπτε* Or. *ἐπιγελῶν* am 4 *μήτ' ἦν — μήτ' ἀπώλετο* Suidas 7 *ὁ τόπος* post *Ἵππος* minus apte add. Suidas 8 *οὕτως οὖν ἐνυβρίσας κακῶς ἀπώλετο* add. Suidas 11 *καὶ τῇ λυρικῇ* Suidas 12 *διότι τοῦτο ἐδόξαζεν, ἀφ' οὗ τις ὁμ.* post *ἄθεος* Suidas 13 *ἀφελόμενος* Suidas 16 *τοὺς καλουμένους ἀπ.* Suidas 18 *κατοικήσας δὲ Κόρινθον ὁ Διαγ. αὐτόθι τὸν βίον κατέστρεψεν* add. Suidas

ἐγκεκαλυμμένον λόγον, παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων, λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπωνος. καὶ παραχρῆμα μὴ δυνάμενος διαλύσασθαι ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐτιμήθη, καὶ Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει. ἐξελθὼν δὲ τοῦ συμποσίου καὶ λόγον γράψας περὶ τοῦ προβλήματος, ἀθυμίᾳ τὸν βίον κατέστρεψε. καί ἐστιν εἰς αὐτὸν ἐπίγραμμα·

Κρόνε Διόδωρε, τίς σε δαιμόνων κακῇ
ἀθυμίῃ ξυνείρυσεν,
ἵν' αὐτὸς αὑτὸν ἐμβάλῃς εἰς Τάρταρον
Στίλπωνος οὐ λύσας ἔπη
αἰνιγματώδη; τοιγὰρ εὑρέθης Κρόνος
ἔξωθεν τοῦ ῥῶ κάππα τε.

περὶ τούτου φησὶ Καλλίμαχος ἐν ἐπιγράμμασιν·

αὐτὸς ὁ Μῶμος
ἔγραφεν ἐν τοίχοις· ὁ Κρόνος ἐστὶ σοφός.

## XIX. Δημήτριος.

Δημήτριος ὁ Φαληρεὺς τοσοῦτον ἦν εὐπρεπής, ὡς ὑπό τινων προσαγορευθῆναι Λαμπετὼ καὶ χαριτοβλέφαρος.

XIX. Suidas (ex Diog. V, 76; haec om. Eudocia p. 136).

---

1 *λόγον* ex Diogene recte add. Müller 3 *Στίλπωνος* A am *Στίλπνωνος* Ba 4 *ἐπετιμήθη* ABa Diogenes vulg. *ἐτιμήθη* Or. 5 *δὴ καὶ τοῦ σ.* Diogenes Müller 10 *ξυνείρυσεν* A am Diogenes (libri omnes W.) vulg. *ξυνείρησεν* Ba (mutatis, ut saepius, *η* et *υ*) 12 *λύσας* A am Diogenes (libri omnes W.) *λύσαι* Ba *αἰνιγματώδε' ἔπη* A 14 *ἔκτοθεν τοῦ ῥῶ καὶ κάππα* A 15 *ἐπιγράμμασιν* A Diogenes *ἐπιγράμμασι* vulg. Cf. ep. LXV Meinek. 17 *ἔγραψεν* ABa *ἔγραφεν* am 19 *ὡς καὶ διαβολὴν λαβεῖν, ὅτι γέγονεν ἐρώμενος νέος ὢν καὶ προσ.* Suidas *ἑλικοβλέφαρον* Suidas

XX. Δημήτριος ἕτερος.

Δημήτριός τις ἕτερος Ἰξίων ἐπεκλήθη, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη.

XXI. Δίδυμος.

Δίδυμος ὁ Ἀλεξανδρεὺς διὰ τὴν πρὸς τὰ βιβλία ἐπιμονὴν Χαλκέντερος ἐπεκλήθη. φασὶ δὲ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια πεντακόσια βιβλία.

XXII. Δράκων.

Δράκων ὁ νομοθέτης εἰς Αἴγιναν ἐπὶ νομοθεσίαις εὐφημούμενος ὑπὸ τῶν Αἰγινητῶν, ἐν τῷ θεάτρῳ, ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφαλὴν πετάσους πλείονας καὶ χιτῶνας, ἀπεπνίγη.

XXIII. Δημόκριτος.

Δημόκριτος ἤσκει ποικίλως δοκιμάζειν τὰς φαντασίας, ἐρημάζων ἐνίοτε καὶ τοῖς τάφοις ἐνδιατρίβων. οὗτος νειμάμενος τὴν οὐσίαν τῷ ἀδελφῷ καὶ τὴν ἐλάττω μοῖραν ἑλόμενος, τοῖς γυμνοσοφισταῖς συνέμιξε καὶ εἰς Ἰνδίαν ἀπῆρε καὶ Αἰθιοπίαν. ἀνελθὼν δὲ

XX. Suidas (haec om. Eudocia p. 132). XXI. Suidas (Eudocia p. 133). XXII. Suidas. XXIII. Diog. IX, 38 οὗτος — Αἰθιοπίαν 35, ἀνελθὼν δὲ — ἠξιώθη 39, ἐδόκει — ἐμπτώσεις 44, πάντα τε — exit. 45.

---

1 ἐπεκλήθη, ὡς μέν τινες Suidas  5 κληθείς Suidas Eudocia  6 καὶ πεντ. Suidas  7 ἀφικόμενος add. solus A, quod coniecturae Rufi deberi suspicor  10 καὶ ἱμάτια post χιτῶνας add. Suidas, quod vereor ne lector adscripserit, cum in Suidae lexico v. περιαγειρόμενοι legatur ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας; ipsas enim vestes Graecos deiecisse vix credi potest  15 ἐλθὼν libri omnes, ἀνελθὼν coni. Müller  ἐλθ. ἐκ τῆς ἀποδημίας Diogenes, quod nostro loco

ταπεινότατα διῆγεν, ἅτε τὴν πᾶσαν οὐσίαν καταναλωκώς, ἐτρέφετό τε διὰ τὴν ἀπορίαν ὑπὸ τοῦ ἀδελφοῦ Δαμάσου. ὡς δὲ προειπών τινα τῶν μελλόντων ηὐδοκίμησεν, ἐνθέου δόξης παρα τοῖς πλείστοις ἠξιώθη. ἐδόκει δὲ αὐτῷ, ἀρχὰς εἶναι τῶν ὅλων ἀτόμους καὶ κενόν, τὰ δ' ἄλλα πάντα νενομίσθαι, ἀπείρους τέ εἶναι κόσμους καὶ γεννητοὺς καὶ φθαρτούς, μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μηδὲν ὂν φθείρεσθαι, καὶ τὰς ἀτόμους ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας. καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν πῦρ, ὕδωρ, ἀέρα, γῆν. εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα, ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων τινῶν περιφερῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως, ἣν καὶ νοῦν ταυτὸν εἶναι. ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις. πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως ἁπάντων, ἣν ἀνάγκην λέγει. τέλος δ' εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούοντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ

---

aut addendum aut scribendum ἐπανελθὼν monuit Or. ταπεινότατα libri ταπεινώτατα Or. 1 καταναλωκὸς a καταναλωκὼς am 2 τῆς ἀδελφῆς libri omnes τοῦ ἀδελφοῦ ex Diogene revocavit Müller, corr. Meursius 6 δοξάζεσθαι Diogenes 8 τοῦ om. A εἰς τὸ μὴ ὂν Diogenes, quod recep. Müller 14 στερρώτητα a στερρότητα am 15 τοιούτων τινῶν πειριφερῶν A (e coniectura, ut videtur) τοιούτ. δι' ὧν καὶ περ. B Diogenes Müller τοιούτ. τινῶν καὶ περ. inepte coni. Iunius τοι. δινῶν καὶ περ. Stephanus τ. λείων καὶ περ. Menagius (in apparatu Wachsmuthii: λείων καὶ περιφερῶν B δινῶν καὶ περιφερῶν H sed in marg. λειῶν) 17 τε om. A 19 ἁπάντων A πάντων vulg. 20 οὖσαν A am, quod corr. Iunius (omnes libri W.)

*εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. καλεῖ δὲ αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι. ποιητὰ δὲ νόμιμα εἶναι, φύσει δὲ ἄτομα καὶ κενόν.*

## XXIV. *Διογένης.*

*Διογένης ὁ Ἀπολλωνιάτης ἔλεγε στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους καὶ κενὸν ἄπειρον, τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων. οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. τὴν γῆν στρογγύλην, ἐρηρεισμένην, ἐν τῷ μέσῳ τὴν σύστασιν εἰληφυῖαν, κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ.*

## XXV. *Ἐπιμενίδης.*

*Ἐπιμενίδου τοῦ Κρητὸς λόγος, ὡς ἐξήρχετο ἡ ψυχή, ὅτε ἠβούλετο καὶ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν ἐπανήρχετο. τελευτήσαντος δὲ αὐτοῦ, τὸ δέρμα εὑρέθη γράμμασι κατάστικτον.*

## XXVI. *Ἑρμογένης.*

*Ἑρμογένης ὁ ῥήτωρ τελευτήσας ἀνετμήθη, καὶ*

XXIV. Diog. IX, 57. XXV. Suidas (haec om. Eudocia p. 150). XXVI. Suidas (quae editores iniuria ex Philostrat. vit. II, 7 fluxisse arbitrantur).

---

*οὐσίαν* Ba *παρακούοντες* A *παρακούσαντες* vulg. *ἐξηγήσαντο* Diogenes 4 *ἀτόμους* Diog. *κενόν* A B a Diog. *κενὰ* Or. Müller (qui add.: leg. *κενόν*) 6 *τὸν ἀέρα* A B *ἀέρα* a vulg. 8 *ἐκ τοῦ* A B a vulg. *εἰς τοῦ* Or. (an typographus?) 13 *ἐξίοι* Suidas 14 *ὅτε ἠβούλετο* om. Suidas 15 *εἰσῄει ἐν τῷ σώματι* pro *ἐπανήρχετο* Suidas *πόρρω χρόνων* post *αὐτοῦ* add. Suidas

εὑρέθη ἡ καρδία αὐτοῦ τετριχωμένη καὶ τῷ μεγέθει πολὺ τῆς ἀνθρωπείας φύσεως ὑπερβάλλουσα.

## XXVII. Ἐρατοσθένης.

Ἐρατοσθένης διὰ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίζων Βῆτα ἐκλήθη.

## XXVIII. Εὐριπίδης.

Εὐριπίδης κατὰ τὴν ἡμέραν, ἣν ἐνίκων Ἕλληνες Πέρσας ἐν τῇ κατὰ Ξέρξου ναυμαχίᾳ, γεννᾶται εὐτυχίαν προσημαίνων Ἀθηναίοις.

## XXIX. Εὐκλείδης.

Εὐκλείδης ὁ Μεγαρικὸς μετὰ τὴν τοῦ Σωκράτους τελευτὴν Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους ἐδέξατο, δείσαντας τὴν ὠμότητα τῶν τυράννων. οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο, πολλοῖς ὀνόμασι καλούμενον, ὅτε μὲν γὰρ φρόνησιν, ὅτε δὲ θεὸν καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά. τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει φάσκων μὴ εἶναι, ταῖς τε ἀποδείξεσιν ἐνίστατο, οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν.

XXVII. Suidas. XXVIII. Suidas. XXIX. Diog. II, 106—107.

---

3 ἐν παντὶ εἴδει AB Suidas παντὶ εἴδει a vulg. 4 ἐγγίζων AB quod recipiendum est (cf. χαριτοβλέφαρος in XIX) ἐγγίσαντα coni. Meursius ἐγγίσασι — βήματα absurde Suidas 6 Ab his magnopere discrepant ipsius Suidae verba: ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρὸς καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας (cf. Lehrs. Pindarscholien p. 161) Ξέρξην A ξερξήνου Ba Ξέρξου Meursius 14 ταῖς τε ABa ταῖς δὲ Diogenes Or. Müller

## XXX. Ἐπίκουρος.

Ἐπίκουρόν τινες διαβάλλοντές φασι πρὸς Πυθοκλέα ὡραῖον ὄντα γράψαι αὐτόν· καθεδοῦμαι προσδοκῶν τὴν ἱμερτὴν καὶ ἰσόθεόν σου εἴσοδον. καὶ ἐν τῷ περὶ τέλους οὕτω γράφειν· οὐ γὰρ ἔγωγε ἔχω, τί νοήσω τἀγαθόν, ἀφαιρῶν μὲν τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς διὰ χυλῶν ἡδονὰς καὶ τὰς δι' ἀκροαμάτων. φασὶ καὶ περὶ Ναυσιφάνους τοῦ μαθητοῦ Πύρρωνος γράφειν αὐτόν· ταῦτα ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι καὶ ἀποκαλεῖν διδάσκαλον. πνεύμονά τε αὐτόν, φασίν, ἐκάλει καὶ ἀγράμματον καὶ ἀπατεῶνα καὶ πόρνον. τούς τε περὶ Πλάτωνα Διονυσιοκόλακας καὶ αὐτὸν Πλάτωνα χρυσοῦν καὶ Ἀριστοτέλη ἄσωτον (καταφαγόντα γὰρ τὴν πατρῴαν οὐσίαν στρατεύεσθαι) καὶ φαρμακοπώλην, φορμοφόρον τε Πρωταγόραν καὶ γραφέα Δημοκρίτου καὶ ἐν κώμαις γράμματα διδάσκειν, Ἡράκλειτόν τε κυκητὴν καὶ Δημόκριτον Ληρόκριτον καὶ Ἀντίδωρον Σανίδωρον τούς τε Κυζικηνοὺς ἐχθροὺς

XXX. Diog. X, 5 καὶ ἐν τῷ — ἀκροαμάτων 6, φασὶ καὶ — ἀπαίδευτον 8, Χρύσιππος — ὁ Χρύσιππος 26, καὶ διὰ τοῦτο — βιβλία 27, καὶ τοῦτον — ζώντων 2, νοσήσας — exit. 15—16.

---

1 διαβάλλοντες om. Diogenes 2 ὡραῖον A 4 οὕτως A 5 Haec inverso ordine apud Diogenem leguntur 6 καὶ τὰς διὰ μορφῶν post ἀκροαμάτων add. Diogenes 10 φασίν accessit ex ABa Stephanus Meursius om. Diogenes Or. Müller 11 πόρνην Ba Meursius (in apparatu Wachsmuthii: πόρνην B πόρνον sed o in corr. H) 12 Διονυσοκόλακας Diogenes Müller 13 (καταφαγόντα — στρατεύεσθαι) καὶ φαρμακοπώλην A φαγόντα — φαρμακοπώλην Ba καὶ φαρμακοπωλεῖν corr. Iunius rec. Stephanus Meursius Or. Müller 17 κυκητὴν A am Diogenes (omnes libri W.) Müller (leg. κυκητήν) μιμητὴν Ba vulg., κυκητὴν flagitaverat Iunius 18 Κυνικοὺς proposuit Reinesius

τῆς Ἑλλάδος καὶ τοὺς διαλεκτικοὺς πολυφθονεροὺς Πύρρωνά τε ἀμαθῆ καὶ ἀπαίδευτον. Χρύσιππος δὲ ἐζήλου αὐτὸν ἐν πολυγραφίᾳ, ὅθεν αὐτὸν Καρνεάδης παράσιτον τῶν ἐκείνου βιβλίων ἀποκαλεῖ· εἰ γάρ τι γράψαι ὁ Επίκουρος, ἐφιλονείκει τοσοῦτον γράψαι ὁ Χρύσιππος. καὶ διὰ τοῦτο πολλάκις τὰ αὐτὰ γέγραφε καὶ τὸ ἐπελθὸν καὶ ἀδιόρθωρτα εἷλκε τῷ ἐπείγεσθαι, καὶ τὰ μαρτύρια τοσαῦτά ἐστιν, ὡς ἐκείνων μόνων γέμειν τὰ βιβλία. καὶ τοῦτόν φασι τὴν ἀρχὴν γραμματοδιδάσκαλον γεγενῆσθαι, ἔπειτα περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις ἐπὶ φιλοσοφίαν ἧξαι, διὸ καὶ Τίμων οὕτω λέγει περὶ αὐτοῦ·

ὕστατος αὖ φυσικὸν καὶ κύντατος ἐκ Σάμου ἐλθὼν
γραμμαδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

νοσήσας δὲ ιδ' ἡμέρας εἰς πύελον ἐνέβη χαλκῆν, κεκραμένην ὕδατι θερμῷ, καὶ αἰτήσας ἄκρατον ἐρρόφησε, τοῖς τε φίλοις παραγγείλας τῶν δογμάτων μεμνῆσθαι ἐτελεύτησε. καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

χαίρετε καὶ μέμνησθε τὰ δόγματα, τοῦτ' Ἐπίκουρος
ὕστατον εἶπε φίλοις οἷσιν ἀποφθίμενος,

---

1 πολυφθονέρους ABa  3 ἐξήλου a corr. Iunius  7 ἀδιόρθωτα ABa Diogenes  ἀδιάθωρτα Or.  εἴακε Diogenes Müller  8 μόνων ABa Stephanus Meursius  μόνον Diogenes Or. Müller  9 φασὶ ABa  φασὶν Or.  11 αἶξαι am Diogenes 12 Cf. Wachsmuth. de Timon. Phlias. p. 69 qui γραμμαδιδασκαλίδης pro vulg. γραμμοδιδασκαλίδης ex Athen. XIII p. 588 et praestantiore Diogenis libro reposuit. Cf. Lobeck. Phryn. p. 669 13 φυσικὸς A (Laert. ed. Bas.) φυσικῶν vulg.  14 ζωώντων A 15 ιδ (sed suprascr. α) B  18 Anth. Pal. VII, 106  20 οἷσιν A Diogenes (in apparatu W.: πρῶτος BGH  πρῶτον F) πρῶτος Ba vulg.

θερμὴν ἐς πύελον γὰρ ἐσήλυθε καὶ τὸν ἄκρατον
ἔσπασεν, εἶτ' αἴδην ψυχρὸν ἐπεσπάσατο.

XXXI. Ἐμπεδοκλῆς.

Ἐμπεδοκλῆς — Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς Ἀκραγαντίνων εἰς κατασκευὴν πατρῴου μνήματος διὰ τὴν ἐν τοῖς ἰατρικοῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς καὶ τοιοῦτόν τι ἐρωτήσας· τί δ' ἐπιγράψομεν ἐλεγεῖον, ἢ τοῦτο;

ἄκρον ἰατρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς ἄκρου
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

οὗτος ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν καὶ δοξασθεὶς θυσίαν συνετέλει. παρῆσαν δὲ καὶ τῶν φίλων τινές. μετὰ δὲ τὴν εὐωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύσαντο, οἱ μὲν ὑπὸ τοῖς δένδρεσιν, ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπη βούλοιντο, αὐτὸς δὲ ἔμεινεν ἐπὶ τοῦ τόπου, ἐφ' οὗπερ κατεκέκλιτο. ὡς δ' ἡμέρας γεννηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος. ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀνακρινομένων καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον, ἄλλο δὲ

XXXI. Diog. VIII, 65, *οὗτος — φίλων τινές* 67, *μετὰ δὲ — θεῷ* 68, *τὴν — ἄσιτον* Suidas, *οὗτος ὁ Ἐμπεδοκλῆς* — exit. 73.

---

1 *θερμὴν* ex Diogene revocandum statuit Müller *χαλκῆν* miro errore libri, iure repudiavit Menagius *ἐς* ABa Diogenes *εἰς* Or. *ἐσῆλθεν* A *ἐσῆλθε* Ba *ἐσήλυθε* ex Diogene restituerunt Or. Müller *τὸν* om. Ba *ἄκρητον* Diogenes 2 *εἶτα ἴδην* B *εἶτ' ἴδην* a corr. Iunius 4 *τοῖς βουλῆς* a *τῆς βουλῆς* am 5 *ἰατρικοῖς* solus A *ἰατροῖς* Diogenes vulg. 9 *Ἄκρων* B 16 *κατεκέκλητο* a *κατεκέκλιτο* am 17 *γεννηθείσης* ABa *γενηθείσης* Diogenes Or. Müller 21 *ἐξαναστὰς* A Diog. *ἐξαναστάντα* vulg. *καὶ λαμπάδων*

μηδέν. τῶν δὲ ἐκπλαγέντων ἐνομίσθη δεῖν θύειν αὐτῷ, καθάπερ θεῷ. τὴν ἄπνουν φασὶ τοιοῦτόν τι εἶναι, ὡς τριάκοντα ἡμερῶν συντηρεῖν ἄπνουν τὸ σῶμα καὶ ἄσιτον. οὗτος ὁ Ἐμπεδοκλῆς πολλὰς τῶν πολιτίδων ἀπροίκους οὔσας ἐπροίκισε διὰ τὸν παρόντα πλοῦτον. διὸ καὶ πορφύραν ἀνέλαβε καὶ στρόφιον ἐπέθετο χρυσοῦν, ἔτι τε ἐμβάτας χαλκᾶς καὶ στέμμα δελφικόν, κόμη τε ἦν αὐτῷ βαθεῖα. καὶ παῖδες ἀκόλουθοι καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προήει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων, οἱονεὶ βασιλείας τινὸς παράσημον. ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενος ἐφ' ἁμάξης ὡς εἰς Μεσσήνην ἔπεσε καὶ τὸν μηρὸν ἐκλάσθη καὶ νοσήσας ἐκ τούτου ἐτελεύτησεν, ὥς φησι Νεάνθης ὁ Κυζικηνός.

## XXXII. Ζήνων.

Ζήνωνα τὸν Κιττιέα ἐθαύμασεν Ἀντίγονος ὁ βασιλεύς. ἐρωτηθεὶς δέ, διὰ τί θαυμάζει αὐτόν, ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων δεδομένων αὐτῷ ὑπ' ἐμοῦ οὐδέποτε ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη. οὗτος πρὸς τὸν καλὸν εἰπόντα, ὅτι οὐ δοκεῖ αὐτῷ ἐρασθήσεσθαι

XXXII. Diog. VII, 15 οὗτος — ἐρασθησόμεθα 21, τούτου λέγοντος — exit. 36.

---

φέγγος post οὐράνιον add. Diogenes 3 συντηρεῖν A Suidas τηρεῖν vulg. ἄσφυκτον pro ἄσιτον flagitavit Müller 7 ἔτι τὰς ἐμβάτας A ἔτι τε ἐμβάτας Ba ἔτι τε ἐμβάδας Diogenes Müller 11 ἀξιοσάντων a ἀξιωσάντων am 13 Μεσσήνην A Diogenes (libri omnes W.) Μεσήνην Ba vulg. τὸν om. A 16 ἐθαύμασεν A ἐθαύμαζεν Ba vulg. 17 θαυμάζει A Diogenes θαυμάζοι Ba vulg. 18 διδομένων ABa δεδομένων ex Diogene rec. Or. Müller αὐτῷ δεδομένων Diogenes 20 αὐτῷ ex Diogene revocavit Müller om. libri

ὁ σοφός, οὐδὲν ἀθλιώτερον, ἔφη, ὑμῶν ἔσται τῶν καλῶν, εἰ μὴ ἡμεῖς ἐρασθησόμεθα. τούτου λέγοντος, ὡς οὐ λυπηθήσεται ὁ σοφός, διάπειραν βουληθεὶς λαβεῖν ὁ βασιλεὺς Ἀντίγονος, ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελθῆναι, ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα καὶ ἡ γυνὴ καὶ οἱ παῖδες. τοῦ δὲ σκυθρωπάσαντος, ὁρᾷς, ἔφη, ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον.

## XXXIII. Ζήνων ἕτερος.

Ζήνων ὁ Ἐλεάτης ἔλεγε κόσμον εἶναι, κενόν τε μὴ εἶναι, γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν, γένεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων, κατὰ μηδενὸς τούτων ἐπικράτησιν. τοῦτόν φασι λοιδορούμενον ἀγανακτῆσαι, αἰτιασαμένου δέ τινος φάναι· εἰ μὴ λοιδορούμενος προσποιοῦμαι, οὐδὲ ἐπαινούμενος ἡσθήσομαι.

## XXXIV. Ἡράκλειτος.

Ἡράκλειτος ὑδέρῳ περιπεσὼν ἔλεγε τοῖς ἰατροῖς,

XXXIII. Diog. IX, 29. XXXIV. Diog. IX, 4 οὗτος —

---

2 εἰ μὴ — ἐρασθησόμεθα om. Diogenes 3 Haec brevius narravit Diogenes διάπειραν δέ ποτε βουληθεὶς λαβεῖν αὐτοῦ ὁ Ἀντίγονος ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελθῆναι, ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα· καὶ σκυθρωπάσαντος, ὁρᾷς, ἔφη, ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον 5 ἀγγελῆναι a vulg. 10 πάντων A Diogenes (libri omes W.) ὑδάτων Ba edd. omnes; verum vidit Iunius 11 ξηροῦ καὶ ὑργοῦ A 16 ἐὰν μὴ — προσποιῶμαι Diogenes 17 ἡσθήσομαι A Diogenes Müller αἰσθανθήσομαι Ba vulg. αἰσθήσομαι coni. vir doctus quem allegavit Iunius (BH in apparatu W.) ἡσθήσομαι ipse corr. Iunius 18 ὑδέρυ Ba ὑδέρῳ A am

εἴ τις δύναιτο ἔντερα ταπεινῶσαι, ὑγρόν τε ἐξερύσαι, ἀπειπόντων δὲ ἔθηκεν ἑαυτὸν εἰς τὸν ἥλιον καὶ ἐκέλευσε τοὺς παῖδας βολβίτοις καταπλάττειν. οὕτω δὴ κατατεινόμενος, μὴ δυνηθεὶς ἀποσπᾶσαι τὰ βόλβιτα, ἔμεινε καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθεὶς κυνόβρωτος γέγονεν. οὗτος οὐδενὸς ἤκουσεν, ἀλλ' αὐτὸς ἔφη δίζεσθαι καὶ μαθεῖν πάντα παρ' ἑαυτοῦ. ἔστι δὲ εἰς αὐτὸν ἐπίγραμμα·

πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
 ὧδε διαντλήσας δύσμορος εἶτ' ἔθανεν.
σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδατι φέγγος
 ἔσβεσεν ἐν βλεφάροις καὶ σκότος ἠγάγετο.

οὗτος τὴν οἴησιν ἱερὰν νόσον ἔλεγε, καὶ τὴν ὅρασιν ψεύδεσθαι, πῦρ εἶναι στοιχεῖον, καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα ἀραιώσει καὶ πυκνώσει γινόμενα. σαφῶς δὲ οὐδὲν ἐκτίθεται. γίνεσθαί τε πάντα κατ' ἐναντιότητα, καὶ ῥεῖν τὰ ὅλα ποταμοῦ δίκην. πεπεράνθαι τε τὸ πᾶν, καὶ εἶναι κόσμον ἕνα, γεννᾶσθαί τε αὐτὸν ἐκ πυρὸς, καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα, καὶ τοῦτο γίνεσθαι καθ' εἱμαρμένην, τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν

ἑαυτοῦ 5, ἔστι δὲ — ἠγάγετο 4, οὗτος — ψεύδεσθαι 7, πῦρ — ὁποία ἐστί 8—11, φέρονται — ἡλίου 16, λαμπρὸς — exit. 7.

---

1 τε ἐξερύσαι recte A τ' ἐξερύσαι B τ' ἐξερῦσαι a vulg. ἐξερᾶσαι Diogenes ἐξεράσαι Müller. Ceterum brevius Diogenes Ἕρμιππος δέ φησι λέγειν αὐτὸν τοῖς ἰατροῖς εἴ τις δύναται τὰ ἔντερα πιέσας τὸ ὑγρὸν ἐξερᾶσαι 4 βολβίτοις ubique libri βολίτοις Diogenes 7 δίζεσθαι A δίζευσθαι Ba διζεύεσθαι Or. διζήσασθαι Diogenes Müller 8 Anth. Pal. VII, 127 10 ἔθανε libri vulg. ἔθανεν ex Diogene restitui 15 τὰ om. A Diogenes (in apparatu Wachsmuthii: τὰ om. H sed in marg. add.) Müller

γένεσιν ἄγον καλεῖσθαι πόλεμον καὶ ἔριν, τὸ δὲ ἐπὶ τὴν ἐκπύρωσιν ὁμολογίαν καὶ εἰρήνην. καὶ τὴν μεταβολὴν ὁδὸν ἄνω κάτω. τόν τε κόσμον γίνεσθαι κατ' αὐτήν· πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι, συνιστάμενόν τε γίνεσθαι ὕδωρ, πηγνύμενον δὲ τὸ ὕδωρ εἰς γῆν τρέπεσθαι καὶ ταύτην ὁδὸν εἶναι ἐπὶ τὸ κάτω. πάλιν τε αὐτὴν τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι. ἐκ δὲ τούτου τὰ λοιπὰ σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυμίασιν ἀνάγων τὴν ἀπὸ τῆς θαλάσσης. αὕτη δέ ἐστιν ἡ ἐπὶ τὸ ἄνω ὁδός. γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάσσης, ἃς μὲν λαμπρὰς καὶ καθαράς, ἃς δὲ σκοτεινάς. αὔξεσθαι δὲ τὸ μὲν πῦρ ὑπὸ τῶν λαμπρῶν, τὸ δὲ ὑγρὸν ὑπὸ τῶν ἑτέρων. τὸ δὲ περιέχον ὁποῖόν ἐστιν, οὐ δηλοῖ. εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ κοῖλον πρὸς ἡμᾶς, ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας, ἃς εἶναι τὰ ἄστρα. λαμπροτάτην τε εἶναι τὴν τοῦ ἡλίου φλόγα καὶ θερμοτάτην. τὰ μὲν γὰρ ἄλλα ἄστρα πλεῖον ἀπέχειν ἀπὸ τῆς γῆς καὶ διὰ τοῦτο ἧττον λάμπειν καὶ θάλπειν, τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου. τὸν μέντοι ἥλιον ἐν διαυγεῖ καὶ ἀμιγεῖ κεῖσθαι,

---

3 ὁδὸν A Diogenes (omnes libri W.) οὐδὲν Ba corr. Iunius 4 κατὰ ταύτην Diogenes 9 ἐπὶ τῆς θαλάσσης F (in apparatu W.) 12 ἃς δὲ καὶ σκοτεινὰς A unde apparet, ante καὶ alterum attributum excidisse, quod etiam propter attributa antecedentia λαμπρὰς καὶ καθαράς verisimile est. Forsan μελαίνας vel simile aliquid supplendum 13 ὑπὸ utroque loco A (et omnes libri W.) priore ὑπὸ altero ἀπὸ Ba utroque loco ἀπὸ cum nonnullis libris Diogenis Or. Müller 17 λαμπροτάτην τε A λαμπ. δὲ Ba vulg. 19 πλεῖον ABa πλέον vulg. 21 φαίρεσθαι B

καὶ σύμμετρον ἀφ' ἡμῶν ἔχειν διάστημα, τοιγάρτοι μᾶλλον θερμαίνειν τε καὶ φωτίζειν, ἐκλείπειν δὲ καὶ ἥλιον καὶ σελήνην ἄνω στρεφομένων τῶν σκαφῶν. τούς τε κατὰ μῆνα τῆς σελήνης σχηματισμοὺς γίνεσθαι, στρεφομένης ἐν αὐτῇ κατὰ μικρὸν τῆς σκάφης. ἡμέραν τε καὶ νύκτα γίνεσθαι καὶ μῆνας καὶ ὥρας ἐτείους καὶ ἐνιαυτούς, ὑετούς τε καὶ πνεύματα καὶ τὰ τούτοις ὅμοια κατὰ τὰς διαφόρους ἀναθυμιάσεις. τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου ἡμέραν, τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν νύκτα ἀποτελεῖν. καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐξανόμενον θέρος ποιεῖν, ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάσαν χειμῶνα ἀπεργάζεσθαι. περὶ δὲ τῆς γῆς οὐδὲν ἀποφαίνεται, ὁποία ἐστί. φέρονται δὲ εἰς αὐτὸν ἐπιγράμματα τάδε·

Ἡράκλειτος ἐγώ, τί μ' ἄνω κάτω ἕλκετ' ἄμουσοι;
 οὐχ ὑμῖν ἐπόνουν, τοῖς δ' ἔμ' ἐπισταμένοις.
εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι, οἱ δ' ἀνάριθμοι
 οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

ἄλλο·

---

2 ἐκλείπειν δὲ καὶ A ἐκλ. τε καὶ Ba vulg. ἐκλ. θ' ἥλ. Diogenes 6 tertium καὶ praebuit A Diogenes (sed om. BH), unde sumpsit Müller om. Ba vulg. ὥρας αἰτίους errore solito a corr. Iunius 10 τοῦ ἡλίου AB Diogenes (omnes libri W.) τοῦ om. a vulg. ἡμέραν ποιεῖν Diogenes ποιεῖν om. libri omnes 11 μέντον inepte Ba 13 πλεονάζον Diogenes 14 ποία τίς ἐστι Diogenes 15 Anthol. Pal. VII, 128 16 τί μ' ὦ κάτω A τί με ὦ κάτω B vulg. τίμε ὦ κάτω a τί μ' ἄνω κάτω ex Diogene revocavit Müller 17 δ' ἔμ' Diogenes Müller δέ μ' libri omnes 20 Anthol. Pal. IX, 540

μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βίβλον
τοὐφεσίου, μάλα τοι δύσβατος ἀτραπιτός.
ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον, ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

λαμπρὸς δὲ ἐν τοῖς συγγράμμασι καὶ σαφής, ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι, καὶ δίαρμα ψυχῆς λαβεῖν. ἥ τε βραχύτης καὶ τὸ βάθος τῆς ἑρμηνείας ἀσύγκριτον.

## XXXV. Θεόδωρος.

Θεόδωρος ὁ κληθεὶς ἄθεος, εἶτα θεός, παντάπασιν ἀνῄρει τὰς περὶ θεῶν δόξας. τέλος δὲ ὑπελάμβανε χαρὰν καὶ λύπην, τὴν μὲν ἐπὶ φρονήσει, τὴν δὲ ἐπὶ ἀφροσύνῃ, ἀγαθὰ δὲ φρόνησιν καὶ δικαιοσύνην, κακὰ δὲ τὰς ἐναντίας ἕξεις, μέσα δὲ ἡδονὴν καὶ πόνον. ἀνῄρει δὲ καὶ φιλίαν, διὰ τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτε ἐν σοφοῖς. τῆς μὲν γὰρ χρείας ἀναιρεθείσης καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι, τοὺς δὲ σοφοὺς αὐτάρκεις ὑπάρχοντας μὴ δεῖσθαι φίλων. ἔλεγε δὲ οὐκ

XXXV. Diog. II, 97 τέλος δὲ — συνοχῆς 98—99, οὗτος — exit. 101.

---

1 εἴλεε A Ba, quod laudavit Iunius εἴλεε recentiores Diogenis editores, Or. Müller 2 τοῦ 'φεσίου A Or. τοῦ Ἐφεσίου Ba vulg. (BH in apparatu W.) τοὐφεσίου Diogenes Müller ἀτραπιτός A am (omnes libri W.) ἀταρπιτός Ba 4 φαενοῦ A φαεινοῦ Ba φανεροῦ ex Diogene corr. Iunius rec. editores λαμπρότερ' A (omnes libri W.) λαμπρότερον Ba rectum vidit Iunius 5 λαμπρὸς τὲ ἐνίοτε ex Diogenis libris revocavit Müller 6 νωθέστατον A Diogenes (omnes libri W.) νωθρέστατον Ba vulg. Diogenis scripturam flagitavit Iunius 7 βάθος solus A βάρος (omnes libri W.) vulg. 13 ἕξεις corr. ex δόξεις, ut videtur A 16 ἐκποδὼν A Diogenes ἐκ ποδῶν Ba vulg. 17 ἔλεγε δὲ οὐκ εὔλογον εἶναι — ὑπεξαγεῖν A

εὔλογον εἶναι τὸν σπουδαῖον ὑπεξαγαγεῖν ὑπὲρ τῆς πατρίδος ἑαυτόν, οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας. εἶναί τε πατρίδα τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ· μηδὲν γὰρ τούτων φύσει αἰσχρὸν εἶναι, τῆς ἐπ' αὐτοῖς δόξης αἱρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. οὗτος ἐκινδύνευσέ ποτε εἰς Ἄρειον πάγον ἀχθῆναι, εἰ μὴ Δημήτριος ὁ Φαληρεὺς αὐτὸν ἐρρύσατο. οἱ δέ φασι καὶ κώνειον αὐτὸν πιεῖν καταδικασθέντα.

## XXXVI. Θεόδωρος ἄλλος.

Θεόδωρος ἄλλος, Σάμιος, συνεβούλευσεν ἄνθρακας υποτεθῆναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ ναοῦ. καθύγρου γὰρ ὄντος, ἔφη, τοῦ τόπου, τοὺς ἄνθρακας τὸ ξυλῶδες ἀποβαλόντας αὐτὸ τὸ στερεὸν ἀπαθὲς ἔχειν ὕδατι.

## XXXVII. Θεόφραστος.

Λέγεται εἰς τὴν Θεοφράστου διατριβὴν φοιτᾶν μαθητὰς πρὸς δισχιλίους.

## XXXVIII. Ἵππασος.

Ἵππασος ὁ Μεταποντῖνος ἔλεγε, χρόνον ὡρισμένον εἶναι τῆς τοῦ κόσμου μεταβολῆς, καὶ πεπερασμένον εἶναι τὸ πᾶν καὶ ἀεικίνητον.

XXXVI. Diog. II, 103. XXXVII. Diog. V, 37. XXXVIII. Diog. VIII, 84.

---

ἔλεγε δὲ καὶ εὔλογον εἶναι — ὑπεξαγαγεῖν Ba vulg., quod placuit Iunio ἔλεγε δὲ καὶ εὔλογον εἶναι — μὴ ὑπεξαγαγεῖν Diogenes Müller 2 ἀποβαλεῖν Diogenes 4 καὶ κλέψειν τε Ba vulg. κλέψειν τε A (et omnes libri W.) 12 ὑποτιθέναι Diogenes νεῴ Diogenes

## XXXIX. Καρνεάδης.

Καρνεάδου Λίβυος φιλοσόφου τελευτήσαντος, ἡ σελήνη ἐξέλιπε καὶ ὁ ἥλιος ἀμυδρὸς ἐγένετο.

## XL. Κράτης.

Κράτης καὶ Πολέμων οὕτως ἐφιλείτην ἀλλήλω, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἤστην ἐπιτηδευμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιούσθην ἀλλήλοιν, καὶ θανόντε τῆς αὐτῆς ταφῆς ἐκοινωνείτην. ἔνθεν καὶ Ἀρκεσίλαος μετελθὼν παρὰ Θεοφράστου πρὸς αὐτοὺς ἔλεγεν, ὡς εἶεν θεοί τινες ἢ λείψανα τῶν ἐκ τοῦ χρυσοῦ γένους. καὶ γὰρ ἤστην οὐ φιλοδημώδεε, ἀλλ' οἷον Διονυσόδωρόν ποτε τὸν αὐλητήν φασιν εἰπεῖν, σεμνυνόμενον ἐπὶ τῷ μηδὲν τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους, μήτ' ἐπὶ κρήνης ἀκηκοέναι, καθάπερ Ἰσμηνίου.

## XLI. Κράντωρ.

Κράντωρ ὁ Σολεὺς ἐθαύμαζεν Ὅμηρον καὶ Εὐριπίδην, λέγων ἐργῶδες τραγικῶς καὶ συμπαθῶς γράψαι, καὶ προεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου·

οἴμοι, τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

XXXIX. Suidas (Eudocia p. 272). XL. Diog. IV, 21—22. XLI. Diog. IV, 26—27 (Suidas v. οἴμοι).

1 φασὶ δὲ τελευτήσαντος τὴν σελήνην ἐξελιπεῖν Suidas Eudocia 3 ἐφιλήτην ABa vulg. quod praefert Iunius ἐφιλείτην Diogenes Müller 5 ἐξωμοιούσθην recte A ἐξωμοιώτην Ba vulg., quod iam corr. Iunius ἐξωμοιώσθην Diogenes Müller 6 ἐκοινωνείτην A Diogenes (H in apparatu W.) κοινωνήτην Ba (B in apparatu W.) κοινωνείτην F (in app. W.) corr. Iunius 9 φιλοδημώδεε A am Diogenes φιλοδημῶδε Ba 11 μηδένα A 15 ἐργῶδες εἶναι ἐν τῷ κυρίῳ Diogenes Müller 16 fr. 302 N. 17 οἴμοι, τί δ' οἴμοι A (omnes libri W.)

ἦν δὲ δεινὸς ὀνοματοποιῆσαι. ποιητοῦ γοῦν τινος σκίφης μεστοὺς εἶναι τοὺς στίχους εἶπε, καὶ τὰς Θεοφράστου θέσεις ὀστρέῳ γεγράφθαι.

## XLII. Κλεάνθης.

Κλεάνθης ὁ μαθητὴς Κράτητος τοσοῦτον γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς προσαγορευθῆναι. μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ, μεθ' ἡμέραν δὲ τοῖς μαθήμασιν ἐσχόλαζεν, ὅθεν ἐπωνομάσθη Φρεάντλης. οὗτος τὸ ἀπὸ τοῦ κόπου αὐτοῦ συναχθὲν κέρμα εἰς μέσον ποτὲ ἀγαγὼν τῶν γνωρίμων, ἔφη· Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο, οἱ δὲ ἔχοντες ὅθεν τρέφονται παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες. εἰπόντος τινός, Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα, παῦσαι, ἔφη, καὶ μὴ ψέγε, εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ. καὶ ὁ Ἀρκεσίλαος, οὐ κολακεύομαι, φησί. πρὸς ὃν Κλεάνθης, ναί σε κολακεύω, φησί, φάμενος ἄλλα μὲν λέγειν, ἕτερα δὲ

XLII. Suidas (Eudocia p. 272 Κλεάνθης — προσαγορευθῆναι) οὗτος — ἴχνος Diog. VII, 170—171, Σωσίθεον — exit. 173.

---

οἴμοι, τί δῆτα B [sed in marg. corr. τί δ' οἴμ. (sic!)] a verum vidit Iunius  2 εἶπεν A  5 κληθῆναι Suidas Eudocia  6 τραφῇ ABa vulg. τραφείη Diogenes Müller  7 μισθῷ Suidas καὶ μεθ' ἡμέραν Suidas  μεθημέραν Ba  μαθήμασι καὶ τοῖς βιβλίοις Suidas  8 καὶ Φρεάντλης Suidas  ἀπὸ τοῦ κόπου om. Diogenes  11 δύνατ' ἂν a  12 τραφήσονται Diogenes  17 post φησί interpunctionem posuerunt AB om. a vulg. Or.  σε post ναί necessarium accessit ex Diogene, om. libri omnes

*ποιεῖν.. ἐρωτῶντος τινός, τί ὑποθήσεται τῷ υἱῷ, ἔφη· τὸ τῆς Ἠλέκτρας*

*σῖγα σῖγα λεπτὸν ἴχνος.*

*Σωσίθεον τὸν ποιητὴν ὑβρίσαντα αὐτὸν καὶ μετανοήσαντα προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δ' ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν.*

## XLIII. *Λεύκιππος.*

*Λεύκιππος ὁ Ἐλεάτης ἔλεγεν ἄπειρα εἶναι τὰ πάντα καὶ εἰς ἄλληλα μεταβάλλειν, τό τε πᾶν εἶναι κενὸν καὶ πλῆρες σωμάτων, τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων καὶ ἀλλήλοις περιπλεκομένων. ἔκ τε τῆς κινήσεως κατὰ αὔξησιν αὐτῶν γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλῳ περὶ τὴν σελήνην. τὴν γῆν ὀχεῖσθαι, περὶ τὸ μέσον δινουμένην, σχῆμά τε αὐτῆς τυμπανοειδὲς εἶναι. πρῶτός τε ἀτόμους ἀρχὰς ὑπεστήσατο, τὸ πᾶν ἄπειρόν φησι, τούτου δὲ τὸ μὲν*

XLIII. Diog. IX, 30—33.

---

1 *ὑποτίθεσθαι δεῖ* Diogenes 2 *τὸ ἐκ τῆς* ABa *τὸ τῆς* ex praestantiore Diogenis libro corr. Iunius 3 *λεπτὸν* A Diogenes, quod praebet Eurip. Orest. 140 *λευκὸν* Ba vulg. (in app. W.: *λεπτὸν* FH *λευκὸν* B) 6 *τὸν* om. A 12 *σωμάτων* ex alio verbo man. I corr. A 13 *κατὰ αὔξησιν αὐτῶν* ABa nec abest *αὐτῶν* codicibus Diogenis, om. tamen Or. Müller 14 *φέρεσθαι* A Diogenes (omnes libri W.) *φαίνεσθαι* Ba vulg. corr. Iunius. Haec paullulum mutavit A: *φέρεσθαι δὲ τόν ἥλιον ἐν μείζονι κύκλῳ, τὴν σελήνην περὶ τὴν γῆν ὀχεῖσθαι, περὶ τὸ μέσ. διν.* Cobetus *παρὰ τὴν σεληνην*, quod praebent ed. Froben. codd. Arund. et Cant.

πλῆρες εἶναι, τὸ δὲ κενόν. καὶ στοιχεῖά φησι κόσμους τε ἐκ τούτων ἀπείρους εἶναι καὶ διαλύεσθαι εἰς ταῦτα. γίνεσθαι δὲ τοὺς κόσμους οὕτως. φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν, ἅπερ ἀθροισθέντα μίαν ἀπεργάζεσθαι δίνην, καθ' ἣν προσκρούσαντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττόμενα, τὰ δὲ λοιπὰ συμμένειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἄλληλα, καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές. τοῦτο δὲ οἷον ὑμένα ὑφίστασθαι, περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώματα, ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων, λεπτὸν γίνεσθαι τὸν πέριξ ὑμένα, συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης, καὶ οὕτω γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον. αὐτόν τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα αὔξεσθαι κατὰ τὴν ἐπικράτησιν τῶν ἔξωθεν σωμάτων, δίνῃ τε φερόμενον αὐτόν, ὧν ἂν ἐπιψαύσῃ, ταῦτα ἐπικτᾶσθαι. τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα, τὸ μὲν

---

1 *κάμους* a *κόσμους* am *κόσμους τε ἐκ τούτων* A Diogenes (omnes libri W.) Müller 2 *ἐκ τούτων* om. Ba vulg. *διαλύεσθαι* A Diogenes (in apparatu W.: *διαδύεσθαι* B *διαλύεσθαι* FH) *διαδύεσθαι* Ba vulg. 3 *οὕτως* ABa vulg. *οὕτω* Diogenes *κατ' ἀποταμὴν* a *κατ' ἀποτομὴν* am 4 *παντοῖα* ABa Diogenes *παντοποιὰ* Or. 5 *ἀθερισθέντα* a corr. Iunius 6 *προσκρούσαντα* A *προσκρούοντα* Ba vulg. 8 *μηδέτι* A 13 *παντοῖα* ABa Diogenes *πάντα* Or. 15 *γίνεσθαι* A Diogenes (in apparatu W,: *γίνεσθαι* H *γενέσθαι* B) *γενέσθαι* Ba vulg. 16 *οὕτω μὲν γενέσθαι* F (in app. W.) 19 *ἐπικράτησιν* libri omnes *ἐπέκρυσιν* Diogenes *ἐπίκρισιν* affert Menagius, coni. Kuehnius

πρῶτον κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα δὲ καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ, εἶτ' ἐκπυρωθέντα τὴν τῶν ἄστρων ἀποτελέσαι φύσιν. εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον ἐξώτατον, τὸν δὲ τῆς σελήνης προσγειότατον, τῶν ἄλλων μεταξὺ τούτων ὄντων. καὶ πάντα μὲν τὰ ἄστρα πυροῦσθαι διὰ τὸ τάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον καὶ ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι, τὴν δὲ σελήνην ὀλίγου τοῦ πυρὸς μεταλαμβάνειν. ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην τῷ κεκλίσθαι τὴν γῆν πρὸς μεσημβρίαν. τὰ δὲ πρὸς ἄρκτον ἀεί τε νίφεσθαι καὶ κατάψυχρα εἶναι καὶ πήγνυσθαι. καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, τὴν δὲ σελήνην συνεχῶς, διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. εἶναί τε ὥσπερ γενέσεις κόσμου, οὕτω καὶ αὐξήσεις καὶ φθίσεις κατά τινα ἀνάγκην, ἥν, ὁποία ἐστίν, οὐ διασαφεῖ.

## XLIV. *Μενέδημος.*

*Μενέδημος* ὁ Ἐρετριεὺς ἀρχιτέκτονος υἱὸς ἦν, ὅθεν γράψαντος αὐτοῦ ψήφισμά τι, καθήψατό τις

XLIV. Diog. II, 125—134 *ἐν δὲ ταῖς ζητήσεσιν — ἀπῄει* 136, *οὕτω δὲ ἦσαν — γυναικί* 137, *τὰ δὲ συμπόσια — λόγος* 139, *τοῦτον — πατρίδα* 143, *φοιτᾶν* — exit. 142.

---

1 *πηλῶδες* A Diogenes (omnes libri W.) Müller *σπιλῶδες* Ba vulg. 3 *ἀστέρων* Diogenes *τὴν τοῦ ἡλίου* A 5 *τοὺς δὲ τῶν ἄλλων μεταξὺ τούτων* Diogenes, excepta ed. Froben., in qua legitur *τῶν ἄλλων μεταξὺ τούτων* 8 *ἐκλίπειν* a *ἐκλείπειν* am 10 *πρὸς ἄρκτον* A et in Diogene Huebnerus *πρὸς ἄρκτῳ* Ba vulg. Cobetus 11 *καὶ τὸν μὲν ἥλιον* A Diogenes (in apparatu W.: *τὸν μὲν ἥλιον* FB *τὸν μὲν ὅτι* H) Müller *καὶ τὸν* Ba vulg. *καὶ* om. Or. 13 *εἶναί τε* ABa Diogenes *εἶναι δὲ* Or. 14 *φθίσεις καὶ φθορὰς* Diogenes Müller 15 *οὐ διασαφεῖ* A nonnulli Diogenis libri Müller *οὐ* om. Ba vulg. (BH in appar. W.) 16 Müller: adde e Diog. *οἱ δὲ καὶ σκηνογράφον αὐτὸν εἶναί φασι καὶ μαθεῖν ἑκάτερα τὸν Μενέδημον*

Ἀλεξίνειος, εἰπών, ὡς οὔτε σκηνὴν οὔτε ψήφισμα προσήκει τῷ σοφῷ γράφειν. πεμφθεὶς δὲ φρουρὸς ὑπὸ τῶν Ἐρετριέων εἰς Μέγαρα ἀνῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν. ἦν δὲ σεμνὸς ἱκανῶς, ὅθεν αὐτὸν Κράτης παρῳδῶν φησι·

Φλιάσιόν τ' Ἀσκληπιάδην καὶ ταῦρον Ἐρετρῆ.

ὁ δὲ Τίμων οὕτω·

λῆρον ἀναστήσας ὀφρυωμένος ἀφροσιβόμβαξ.

οὕτω δ' ἦν σεμνός, ὡς Εὐρύλοχον τὸν Κασανδρέα μετὰ Κλεϊππίδου Κυζικηνοῦ μειρακίου κληθέντα ὑπ' Ἀντιγόνου ἀντειπεῖν· φοβεῖσθαι γάρ, μὴ Μενέδημος αἴσθηται. ἦν δὲ ἐπισκώπτης καὶ παρρησιαστής. Ἀντιγόνου συμβουλευομένου, τί εἴποι, εἰ ἐπὶ κῶμον ἀφίκοιτο, σιωπήσας τὰ ἄλλα μόνον ἐκέλευσεν ἀπαγγεῖλαι, ὅτι βασιλέως υἱός ἐστι. πρὸς τὸν ἀναίσθητον ἀναφέροντά τι αὐτῷ εἰκαίως ἠρώτησεν, εἰ ἀγρὸν ἔχοι, φήσαντος δὲ καὶ πάμπλειστα κτήματα, πορεύου τοίνυν,

---

1 Ἀλεξίνιος AB ψήφισμα A Diogenes (omnes libri W.) ψηφίσματα Ba vulg. Müller 7 Cf. Wachsmuth. de Timon. Phlias. p. 77, qui scripsit Ἐρετρῆ pro Ἐρέτρην secutus Bergkium (cf. Poet. Lyr. p. 668), mox Wachsmuth. l. c. p. 60. 9 λόγον ABa et in Diogene Froben. et Menag. corr. Iunius ὠφρυωμένος ABa vulg. omnesque Diogenis libri, metri causa ὀφρυωμένος corr. Menagius ἀφροσι βόμβαξ A Diogenes ἄφροσι βόμβαξ Ba vulg. ἀφρασι βόμβαξ Scaliger. Brunck. Paul de Sillis Graecis fr. XXXI (in apparatu W.: ἄφροσι βόμβαξ B ἀφροσικόμβαξ H ἀφροσιβόμβαξ G) 10 Κασανδρέα AB Κασσανδρέα a vulg. 13 αἴσθηται libri αἴσθοιτο. ἦν γὰρ καὶ ἐπικόπτης Diogenes ἦν δὲ ἐπισκώπτης A, quod commendavit Menagius ἦν γὰρ ἐπικόπτης Ba vulg. 14 τί εἴποι om. omnes Diogenis libri sed addendum esse iudicavit Menagius 15 σιωπήσαντά τ' ἄλλα e coniectura A σιωπήσας τὰ ἄλλα vulg. 17 ἔχει A

ἔφη, κἀκείνων ἐπιμελοῦ, μὴ συμβῇ σοι καὶ ταῦτα διαφθεῖραι καὶ κομψὸν ἰδιώτην ἀποβαλεῖν. πρὸς τὸν εἰπόντα πολλὰ τὰ ἀγαθά, ἐπύθετο, πόσα τὸν ἀριθμόν, καὶ εἰ νομίζοι πλείω τῶν ἑκατόν. ἦν δὲ καὶ ἐκκλίτης καὶ τὰ τῆς σχολῆς ἀδιάφορος· οὔτε γὰρ τάξιν τινὰ ἦν παρ' αὐτῷ βλέπειν, οὔτε βάθρα κύκλῳ διέκειτο, ἀλλ' οὗ ἂν ἕκαστος ἔτυχε περιπατῶν ἢ καθήμενος, ἤκουε καὶ αὐτοῦ τοῦτον τὸν τρόπον διακειμένου. Κράτητος δέ ποτε περιϊσταμένου αὐτὸν καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν, τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα, καὶ ὑποκύπτοντα Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν. ἦν δέ πως ἠρέμα καὶ δεισιδαιμονέστερος. σὺν Ἀσκληπιάδῃ γοῦν ποτε κατὰ ἄγνοιαν ἐν πανδοκείῳ κρεάτων ῥιπτουμένων φαγών, ἐπεὶ μάθοι, ἐναντία τε καὶ ὠχρία, ἕως Ἀσκληπιάδης ἐπετίμησεν αὐτῷ, ὡς οὐδέν, εἰπών, ἠνώχλησεν αὐτῷ τὰ κρέα, ἡ δὲ περὶ τούτων ὑπόνοια. ἦν δὲ φιλυπόδοχος καὶ διὰ τὸ νοσῶδες τῆς Ἐρετρίας πλείω συνάγων συμπόσια. προσεῖχε δὲ Ὁμήρῳ καὶ τοῖς μελικοῖς, εἶτα Σοφοκλεῖ καὶ Ἀχαιῷ, ᾧ καὶ τὸ δευτερεῖον ἐν

---

2 καταφθεῖραι Diogenes κόμπον A (fors. κομπὸν?) 4 νομίζει A ἐκκλίτης A Diogenes ἐκκλιτὴς Ba vulg. Müller ἐκλυτὸς coni. Iunius 5 οὔτε γοῦν A Ba Diogenes οὔτε γὰρ Or. Müller 11 τὸν δὲ — παριόντα, καὶ ὑποκύπτοντα — ἀποκαλεῖν A idem coni. Stephanus in praef. ad Diog. τὸν δὲ — παριόντα καὶ ὑπερκύπτοντα — ἀποκαλεῖν Ba vulg. 16 ἐναντία A 17 Haec in editionibus satis inepte leguntur ὡς δέ, εἰπών, ἠνώχλησεν αὐτῷ τὰ κρέα, quae praebuerunt Ba ὡς οὐδέν, εἰπών, ἠνώχλησεν αὐτῷ τὰ κρέα A verum vidit Iunius, qui proposuit ὡς οὐδέν — κρέα, addens ἡ δὲ περὶ τούτων ὑπόνοια. Haec enim Diogenes. ἀλλ' ἡ περὶ — ὑπόνοια Cobetus, qui antecedens εἰπών uncis seclusit. Secutus est Müller sed uncis praetermissis

τοῖς σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπεδίδου. πρὸς γοῦν τοὺς ἀντιπολιτευομένους ταῦτα προεφέρετο·

ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχύς,
καὶ πρὸς χελώνης ἀετὸς βραχεῖ χρόνῳ.

ταῦτα δέ ἐστιν Ἀχαιοῦ ἐκ τῆς σατυρικῆς Ὀμφάλης. ὥστε προπταίουσιν οἱ λέγοντες, αὐτὸν μηδὲν ἀνεγνωκέναι πλὴν τῆς Εὐριπίδου Μηδείας. Στίλπωνα ἐπαινῶν ἄλλο μὲν οὐδὲν εἶπε, πλὴν ὅτι ἐλευθέριος. ἐν δὲ ταῖς ζητήσεσιν ὧδε μάχιμος ἦν, ὥσθ' ὑπώπια φέρων ἀπῄει. οὕτω δὲ ἦσαν οὗτος καὶ Ἀσκληπιάδης φίλοι, ὥστε Ἀρχεπόλιδος τρισχιλίας αὐτοῖς διαγράψαντος, στηριζομένους περὶ τοῦ τίς δεύτερος ἀρεῖ, μηδέτερον λαβεῖν. ἔγημαν δὲ γυναῖκας, Ἀσκληπιάδης μὲν τὴν θυγατέρα, τὴν δὲ μητέρα Μενέδημος, κἀπειδὴ τελευτήσοι τῷ Ἀσκληπιάδῃ τὸ γύναιον, ἔλαβε τὸ τοῦ Μενεδήμου, ἐκεῖνός τε αὖ, ἐπειδὴ προὔστη τῆς πολιτείας, πλουσίαν ἔγημεν· ἐπέτρεψε μέντοι τὴν τῆς οἰκίας διοίκησιν τῇ προτέρᾳ γυναικί. τὰ δὲ συμπόσια οὕτως ἐποιεῖτο. προηρίστα μετὰ δυοῖν ἢ τριῶν, ἐς ὃ βραδέως ἦν τῆς ἡμέρας, ἔπειτά τις ἐκάλει τοὺς παραγενομένους καὶ αὐτοὺς ἤδη δεδειπνηκότας, ὥστε, εἴ τις ἔλθοι θᾶττον,

---

2 προεφέρετο ABa vulg. προφέρετο Or. προσεφέρετο Huebnerus προεφέρετο coni. Casaubonus 4 Cf. Nauck. fragm. trag. p. 585 5 χελώνας A 7 πταίουσιν Diogenes 8 Στίλπνωνα Ba 10 ὥσθ' ὑπώπια A ὡς ὑπόπια Ba ὡς ὑπώπια am ἀπῄει libri omnes, itemque Huebnerus ὑπῄει Cobetus 12 ἐριζομένους Diogenem scripsisse suspicatus est Iunius, in textum rec. Menagius 13 ἀρεῖ libri ἄρῃ Diogenes 15 τελευτήσοι ABa τελευτήσαι Or. ἐτελεύτησε Huebnerus Müller τελευτῆσαι Cobetus 19 seq. Haec aliquanto plenius leguntur apud Athen. X, p. 519 seq. 20 ἐς ὃ ABa vulg. ἕως am Diogenes

ἀνακάμπτων ἐπυνθάνετο τῶν ἐξιόντων, τί εἴη παρακείμενον καὶ πῶς ἔχοι τοῦ χρόνου. εἰ μὲν οὖν λαχάνιον ἦν ἢ ταρίχιον, ἀνεχώρουν, εἰ δὲ κρεάδιον, εἰσῄεσαν. ἦν δὲ τοῦ μὲν θέρους ψίαθος ἐπὶ τῶν κλινῶν, τοῦ δὲ χειμῶνος κῴδιον, προκεφάλαιον δ' αὑτῷ φέρειν ἔδει. τὸ δὲ περιαγόμενον ποτήριον οὐ μεῖζον κοτυλιαίου, τράγημα θέρμος ἢ κύαμος, ἔστι δ' ὅτε καὶ τῶν ὡρίων ἄπιος ἢ ῥοὰ ἢ ὦχροι ἢ νὴ Δί' ἰσχάδες. Λυκόφρων δὲ γράψας αὐτοῦ ἐγκώμιον περὶ τούτου φησίν·

ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
αὐτοῖς κυκλεῖται πρὸς μέτρον· τράγημα δὲ
ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

τοῦτόν φασι πολλάκις τυράννων ἐλευθερῶσαι τὴν πατρίδα, φοιτᾶν γοῦν καὶ πρὸς Ἀντίγονον καὶ βούλεσθαι ἐλευθερῶσαι πάλιν αὐτήν, τοῦ δὲ μὴ εἴκοντος, ὑπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ ἡμερῶν τὸν βίον μεταλλάξαι.

## XLV. Μέλισσος.

Μέλισσος ἔλεγε, τὸ πᾶν ἄπειρον εἶναι καὶ αναλ-

XLV. Diog. IX, 24.

1 ἀνακάμπτων om. A  2 λαχάνιον — ταρίχιον A Diogenes (sic VHG in appar. W., λαχάνιον ἢ ταρείχιον B) λάχανον — τάριχον Ba vulg. Athenaeus  6 τὸ δὲ A  τό τε Ba vulg. 8 τῶν ὡρίων A (omnes libri W.) τῶν om. Ba vulg. ῥόα ABa vulg. ῥοὰ Or. Huebnerus ῥοιὰ Cobetus Müller (F in app. W.) ὄχναι libri omnes, quod non diversum ab ἄπιος ὦχροι Diogenes Athenaeus, itaque hoc reponendum iudicavit Menagius  11 Cf. Nauck. frag. trag. p. 636  12 seq. τράγημα γὰρ Ὁ σωφρονιστὴς πᾶσιν ἐν μέσῳ λόγος Athenaeus  14 φασὶ πολλάκις τύραννων A φασὶ τυρ. πολλ. Ba vulg. φασὶν Or.  15 φυτᾶν A  17 ὑπὸ ἀθομίας A  ὑπ' ἀθυμίας B  ἐπ' ἀθυμίας a vulg. Or. Müller ἀθυμίᾳ Diogenes  17 τὸν βίον κατέστρεψε Diogenes

*λοίωτον καὶ ἀκίνητον καὶ ἕν, ὅμοιον αὐτῷ καὶ πλῆρες, κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. καὶ περὶ θεῶν ἔλεγε, μὴ δεῖν ἀποφαίνεσθαι, μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.*

## XLVI. *Νικόλαος.*

*Νικόλαος φιλόσοφος, ὁ Δαμασκηνός, τοσοῦτον ἠγαπήθη παρὰ τοῦ Αὐγούστου Καίσαρος, ὥστε τοὺς ὑπ' ἐκείνου πεμπομένους πλακοῦντας τῷ Καίσαρι Νικολάους αὐτὸν καλεῖν. καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον.*

## XLVII. *Νουμήνιος.*

*Νουμήνιος Πυθαγορικὸς φιλόσοφος, ὁ Ἀπαμεύς, τὴν Πλάτωνος διάνοιαν ἤλεγξεν, ὡς ἐκ τῶν Μωσαϊκῶν βιβλίων τὰ περὶ θεοῦ καὶ κόσμου ἀποσυλήσασαν. διὸ καί φησι· τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων;*

## XLVIII. *Νέστωρ.*

*Νέστωρ ἐποποιός, ὁ ἐκ Λυκίας, ἔγραψεν Ἰλιάδα λειπογράμματον· ἔστι γὰρ ἐν τῷ α μὴ εὑρίσκεσθαι α, καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνει στοιχεῖον. ἐποίησε δὲ καὶ Τρυφιόδωρος Ὀδύσσειαν ὁμοίως αὐτῷ.*

XLVI. Suidas (haec om. Eudocia p. 308). XLVII. Suidas (Eudocia p. 308). XLVIII. Suidas.

---

1 *αὐτῷ* A *ἑαυτῷ* vulg. 5 *τοσοῦτον ἠσπάσατο αὐτὸν Καῖσαρ, ὡς* Suidas 10 *ὁ Πυθαγ.* A 11 *ἔλεγξεν* Ba *ἤλεγξεν* am *οὗτός ἐστιν ὁ ἐξελέγξας* Suidas Eudocia 12 *ἀπεσυλήθησαν* solus A *ἀποσυλήσασαν* Ba vulg. omnesque Suidae libri 14 *ἔγραψεν* om. Suidas 15 *λειπογρ. ἤτοι ἀστοιχείωτον* Suidas 16 *οὕτως* A Suidas *οὕτω* Ba vulg. *ἐκλιμπάνει* A Suidas *ἐκλιμπάνειν* Ba vulg. 17 Haec verba post *λειπογρ. ἤτ. ἀστ.* praebet Suidas

## XLIX. Ξάνθος.

Ξάνθος Λυδὸς ἱστορικὸς ἐν τῇ δευτέρᾳ τῶν Λυδιακῶν αὐτοῦ ἱστοριῶν φησίν, ὅτι πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις.

## L. Ξενοκράτης.

Ξενοκράτης ὁ φιλόσοφος, πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τριάκοντα τάλαντα, ἀπέπεμψεν εἰπών, βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. Ἀντιπάτρου ποτὲ ἐλθόντος εἰς Ἀθήνας καὶ ἀσπασαμένου τοῦτον, οὐ πρότερον ἀντιπροσηγόρευσε, πρὶν ἢ τὸν λόγον, ὃν ἔλεγε, διαπεράνασθαι. ἀτυφώτατος δὲ ὢν πολλάκις ἑαυτῷ τῆς ἡμέρας ἐμελέτα, καὶ ὥραν μίαν, φασίν, ἀπένεμε σιωπῇ. Ἀθηναῖοι δ' ὅμως αὐτὸν τοιοῦτον ὄντα ἐπίπρασκόν ποτε, τὸ μετοίκιον ἀτονοῦντα θεῖναι· καὶ αὐτὸν ὠνεῖται Δημήτριος ὁ Φαληρεὺς καὶ ἑκάτερον ἀποκατέστησε, Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ μετοίκιον.

## LI. Ξενοφάνης.

Ξενοφάνης ὁ Κολοφώνιος ἔλεγε, τέσσαρα εἶναι

XLIX. Suidas. L. Suidas Ἀντιπάτρου — ἀπένεμε σιωπῇ Diog. IV, 11 Ἀθηναῖοι — exit. 14. LI. Diog. IX, 19 Ἐμπεδοκλέους — σοφόν 20, πρῶτος — exit. 19.

---

2 Λυδιακῶν αὐτοῦ AB idem flagitavit Meursius Λυδιακ. τοῦ perverse a ὡς πρ. Suidas 4 ἀεὶ om. A. Ceterum Creuzerus, quia Athen. XII, p. 515 regem Lydorum Adramutam ex opinione Xanthi haec fecisse tradiderit, hic Ξενόφιλος pro Ξάνθος legendum suspicatus est 6 αὐτὸς post τάλαντα add. Suidas 9 ἀντιπροσαγόρευσε A 10 ἀτυφώτατος A Diogenes ἀτυφότατος Ba vulg. 12 Ἀθηναῖοι ABa vulg. Ἀθηναῖον Or. 13 ἐπίπρασκον A am ἐπίπρακον Ba 15 Ξενοκράτη A 16 ἐλευτερίαν a corr. am

τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, παραλλάκτους δέ. τὰ νέφη συνίστασθαι, τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἱρούσης αὐτὰ εἰς τὸ περιέχον. οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ, ὅλον δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν. σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀΐδιον. πρῶτός τε ἀπεφήνατο, ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι καὶ ἡ ψυχὴ πνεῦμα. ἔφη τε καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι. καὶ τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. Ἐμπεδοκλέους εἰπόντος αὐτῷ, ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός, εἰκότως, ἔφη, σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν. πρῶτος δὲ εἶπεν, ἀκατάληπτα εἶναι τὰ πάντα.

## LII. Ὅμηρος.

**Ὅμηρος** ἱστορεῖται γενέσθαι τυφλός, ὡς μὴ ἡττηθεὶς ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἔρχεται.

## LIII. Παλαμήδης.

**Παλαμήδης** εὗρε τὸ ζ' καὶ π' καὶ φ' καὶ χ' στοιχεῖα.

## LIV. Πίνδαρος.

**Πίνδαρος** ὁ λυρικὸς αἰτήσας τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ ἀθρόον ἀπέθανεν ἐν θεάτρῳ,

LII. Suidas. LIII. Suidas (Eudocia p. 356). LIV. Suidas (Eudocia p. 358).

---

1 οὐ παραλλάκτους AB vulg. οὐ παραλάκτους a corr. am ἀπαραλλάκτους Huebnerus ἀπαραλείπτους vel εὐπαραλλάκτους coni. Aug. Brandis οὐ removit Cobetus, seclusit Müller 3 αἱρούσης a 14 τυφλὸς ἐκ παίδων γεγονώς, τὸ δὲ ἀληθές, ὅτι οὐχ ἡττήθη ἐπιθυμίας Suidas ἡττηθείη A 15 ἢ a 16 ϑ pro π legendum monuit Kuesterus laudatus Bernhardyo

ἀνακεκλιμένος εἰς τὰ τοῦ ἐρωμένου αὐτοῦ Θεοξένου γόνατα.

## LV. Πλάτων.

Πλάτων ὁ φιλόσοφος λέγεται μὴ γάμον τινὰ μηδὲ ὁμιλίαν σώματος καθάπαξ ἀνασχέσθαι. φασὶ δέ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ αὐτοῦ ἔγκυος γέγονεν, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος. καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. πλατὺς δὲ ὢν τὰ στέρνα ἢ τὸ μέτωπον Πλάτων προσηγορεύθη. οἱ δέ ὡς πλατὺς ἦν ἐν λόγοις, οὕτω φασὶν αὐτὸν κληθῆναι. Τίμων δὲ κωμῳδῶν αὐτὸν ἐν σίλλοις φησί·

τῶν πάντων δ' ἡγεῖτο πλατίστατος, ἀλλ' ἀγορητὴς
ἡδυεπής, τέττιξιν ἰσόγραφος, οἵ θ' Ἑκαδήμου
δένδρῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι.

πρότερον γὰρ ἡ Ἀκαδημία τὸ χωρίον Ἑκαδημία ἐκα-

XV. ὁ φιλόσοφος — ἀνασχέσθαι? φασὶ δὲ — συνεγένετο Suidas πλατὺς — προσηγορεύθη Diog. III, 4 οἱ δὲ — κληθῆναι Suidas Τίμων — Ἐπιχάρμου Diog. III, 7—9 φησὶ γὰρ ὁ Ἐπίχαρμος — γίγνεται 10—14, οὗτος ὁ Πλάτων — ὑπομενῶ 23—24, τοιοῦτος — ἀγαθόν 26—27, ὁ Πλάτων — Γοργίαν 52, ἔλεγε δὲ — exit. disserit de ea re Plato in Timaeo p. 470. Verba in nostris Diogenis exemplaribus desunt.

---

1 ἀνακεκλιμένα a corr. am τὰ om A ἐτῶν νε' add. Suidas Eudocia 4 ἀνασχέσθαι A Ba ἀνέχεσθαι vulg. ἱστόρηται pro φασὶ Suidas 6 ἔτεκεν A 9 ὡς πλατὺς ἦν A φασὶν αὐτὸν A ὡς πλατὺν et φασὶν vulg. 11 δ' ἡγεῖτο A Ba Diogenes ἡγεῖτο Or. πλατίστατος AB idem coni. Roeper in Philol. I, p. 656 recepit Wachsmuth. de Timone Phlias. p. 53 πλατίστακος a corr. Iunius 12 τέττιξιν A Diogenes (omnes libri W.) Müller τέττιξ Ba vulg. Or. οἵ θ' A Ba vulg. οἵ τ' Or. 13 δένδρῳ A Ba vulg. δένδρει Diogenes Wachsmuth. δένδρα ed. Froben. δένδρεῳ coni. Menagius ἱεῖσι AB Hübnerus ἰεῖσι a ἰᾶσι ed. Froben. Menagius ἱᾶσι Wachsmuth. e coni. Stephani ἱᾶσιν Cobetus Müller ἐφιεῖσι Or. 14 χωρίον Ἑκαδημία AB Diogenes (omnes libri W.) χωρ. Ἑκαδημίας a vulg. Or.

λεῖτο. οὗτος μίξιν ἐποιήσατο τῶν τε Ἡρακλειτείων λόγων, Πυθαγορικῶν καὶ Σωκρατικῶν. τὰ μὲν γὰρ αἰσθητὰ καθ' Ἡράκλειτον, τὰ δὲ νοητὰ κατὰ Πυθαγόραν, τὰ δὲ πολιτικὰ κατὰ Σωκράτην ἐφιλοσόφει. ὠφέληται δὲ πολλὰ παρ' Ἐπιχάρμου. φησὶ γὰρ ὁ Ἄλκιμος· λέγουσιν οἱ σοφοί, τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν, τὰ δ' αὐτὴν καθ' αὐτὴν ἐνθυμεῖσθαι μηδὲν τῷ σώματι χρωμένην, διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν, ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας πρῶτον μὲν αὐτὰς καθ' αὑτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα καὶ μονάδα καὶ πλῆθος καὶ μέγεθος καὶ στάσιν καὶ κίνησιν, δεύτερον δὲ αὐτὸ καθ' αὑτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον καὶ τὰ τοιαῦτα ὑποθέσθαι, τρίτον δὲ τῶν ἰδεῶν συνιδεῖν, ὅσαι πρὸς ἀλλήλας εἰσίν, οἷον ἐπιστήμην ἢ μέγεθος ἢ δεσποτείαν ἐνθυμουμένους, ὅτι τὰ παρ' ἡμῖν διὰ τὸ μετέχειν ἐκείνων ὁμώνυμα ἐκείναις ὑπάρχει, λέγω δέ, οἷον δίκαια μέν, ὅσα τοῦ δικαίου, καλὰ δέ, ὅσα τοῦ καλοῦ. ἔστι δὲ τῶν εἰδῶν ἕκαστον ἀΐδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές. διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι καθάπερ παραδείγματα, τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. ὁ

---

2 γὰρ om. A 6 Ἐπίχαρμος ABa vulg. Ἄλκιμος ex Diogene reposuit Iunius 11 τὰς — ἀρχὰς ABa Hübnerus τὴν — ἀρχὴν Or. Cobetus Müller 12 καθ' αὔτας B 14 δεύτερον δὲ A δὲ om. Ba vulg. Diogenes, qui et infra τρίτον sine δὲ praestat 19 ὑπάρχοι Hübnerus 21 ἓν ἕκαστον Diogenes 23 ἱστάναι Ba Stephanus Meursius

τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει·

ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; πάνυ μὲν οὖν.
ἄνθρωπος οὖν αὔλησίς ἐστιν; οὐδαμῶς.
φέρ' ἴδω, τίς αὐλητάς; τίς εἶμέν τοι δοκεῖ;
ἄνθρωπος; ἦ οὐ γάρ; πάνυ μὲν οὖν. οὐκ ὦν δοκεῖ
οὕτως ἔχειν καὶ περὶ τὠγαθῶ τὸ μὲν
ἀγαθόν τι πρᾶγμ' εἶμεν καθ' αὖθ'; ὅστις δέκα
εἰδῇ μαθὼν τῆν' ἀγαθὸς ἤδη γίγνεται.

οὗτος ὁ Πλάτων Χαβρίᾳ συνείπετο τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς τῶν πολιτῶν τοῦτο πρᾶξαι βουληθέντος. ὅτε καὶ ἀνιόντι αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ Κρωβύλος ὁ συκοφάντης ἀπαντήσας φησίν· ἄλλῳ συναγορεύσων ἥκεις, ἀγνοῶν, ὅτι καὶ σὲ τὸ Σωκράτους κώνειον ἀναμένει; ὁ δ' ἔφη· καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον

3 seq. Mullach. fragm. phil. I, p. 142 sic recensuit: ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; πάνυ μὲν ὦν. | ἄνθρωπος ὦν αὔλησίς ἐστιν; οὐδαμῶς. | φέρ' ἴδω, τί δ' αὐλητάς; τίς εἶμέν τοι δοκεῖ; | ἄνθρωπος, ἦ οὐ γάρ; πάνυ μὲν ὦν. οὔκων δοκεῖ | οὕτως ἔχειν (τοι) καὶ περὶ τὠγαθοῦ; τό γα | ἀγαθόν τι πρᾶγμ' εἶμεν καθ' αὖθ'; ὅστις δέ κα | εἰδῇ μαθὼν τῆν' ἀγαθὸς ἤδη γίνεται 5 φέρε ἴδω, τί δ' αὐλητάς τις εἶμεν σοι δοκεῖ; ἄνθρωπος; ἦ γὰρ οὔ; A φ. ἴδ. τί δ' αὐλητάς τις, εἶμέν τοι δοκεῖ ἄνθρωπος, ἦ γὰρ οὔ; B φ. ἴδ. τί δ' αὐλητὰς τὶς. εἰ μέντοι δοκεῖ ἄνθρωπος, η γὰρ οὔ; a Reposui Hübneri lectionem οὐ γὰρ pro ἦ οὐ γὰρ Cobetus Müller 6 οὐκοῦν libri οὐκ ὦν Diogenes δοκεῖς ABa 7 τοῦ ἀγαθοῦ libri τὠγαθῶ Diogenes ἀγαθοῦ A 8 ἀγαθόν, τὸν δὲ ABa vulg. πρᾶγμα ABa vulg. εἶναι A καθ' αὑτὸ libri καθ' αὖθ' Diogenes ὅστις δὲ τὰ A 9 εἴδη ABa vulg. τῆνος A τῆνο Ba vulg. ἤδη om. libri, accessit ex Diogene γίγνεται οὗτος a Stephanus Meursius Or. γίγνεται. οὗτος ὁ Πλάτων AB Müller 10 συνεῖπε coni. Valckenarius rec. Hübnerus 13 Χαυρίᾳ B Κρωβύλος AB am Κροβύλος a Κρώβυλος Or.

τοὺς κινδύνους, καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ. τοιοῦτος δὲ ὢν ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπομπος γοῦν φησιν·

ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὼ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησι Πλάτων.

ἀλλὰ καὶ Ἀναξανδρίδης·

ὅτε τὰς μορίας ἔτρωγεν, ὥσπερ καὶ Πλάτων.

καὶ Τίμων παραγραμματίζων αὐτόν·

ὡς ἀνέπλαττε Πλάτων ὁ πεπλασμένα θαύματα εἰδώς.

Ἄλεξις·

εἰς καιρὸν ἥκεις, ὡς ἔγωγ' ἀπορουμένη
ἄνω κάτω τε περιπατοῦσ', ὥσπερ Πλάτων
σοφὸν οὐδέν' εὕρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη.

καὶ πάλιν·

λέγεις περὶ ὧν οὐκ οἶσθα, συγγενῶς τρέχων
Πλάτωνι, καὶ γνώσῃ λίτρον καὶ κρόμμυον.

---

3 ἐν Ἡδυχάρει add. Diogenes. Cf. Meineke II, 2 p. 796 seq., qui allegavit Platonis Phaedon. § 104 5 τὼ δὲ δύο ABa Menagius Grotius τὰ δὲ Hübnerus Or. Cobetus Müller ἓν om. AB 6 Ἀν. ἐν Θησεῖ Diogenes 7 μυρίας A μωρίας Ba vulg. Or. μορίας corr. Iunius Hübnerus Cobetus Müller καὶ om. libri inseruit Hermannus eumque secuti editores Diogenis ὁ coni. Menagius ὡσπερεὶ corr. Meineke III, p. 170 9 ἀνέπλασε ABa vulg. Or. ἀνέπλαττε corr. Menagius rec. Diogenis editores Müller ὁ πεπλασμένα pro πεπλ. corr. Meineke in Athen. XI, p. 505 recepit Wachsmuth. de Timon. Phlias. p. 68 10 Ἄλ. Μερόπιδι Diogenes. Cf. Meineke, com. fr. III, p. 451 11 ἀπορουμένην B 13 τὰ σκέλη libri τὼ σκέλη Cobetus 14 καὶ ἐν Ἀγκυλίωνι Diogenes. Cf. Meineke III, p. 382 15 συγγενῶς A Diogenes flagitavit Iunius συγγενοῦς Ba (sic BVH in apparatu W.) 16 γνώσῃ libri γνώσει Cobetus Müller λίξον καὶ κόμμυον a λίτρ. (sed corr. ex λίξον) κ. κόμμυον B κρόμμυον corr. Iunius

Ἄμφις Ἀμφικράτει·

τὸ δ' ἀγαθόν, ὅτι ποτ' ἐστίν, οὗ συ τυγχάνειν
μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγώ,
ὦ δέσποτ', ἢ τὸ τοῦ Πλάτωνος ἀγαθόν.

ὁ Πλάτων, περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεσσάρων προσώπων, Σωκράτους, Τιμαίου, τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου, περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει Θρασύμαχον, Καλλικλέα, Πῶλον, Γοργίαν. ἔλεγε δέ, τὴν μὲν ψυχὴν ἀρχὴν ἔχειν ἀριθμητικήν, τὸ δὲ σῶμα γεωμετρικήν, ὡρίζετο δὲ αὐτὴν ἰδέαν τοῦ πάντη διεστῶτος πνεύματος, αὐτοκίνητόν τε εἶναι.

## LVI. Πύρρων.

Πύρρων ὁ Ἠλεῖος Ἀναξάρχῳ συνακολουθῶν καὶ τοῖς γυμνοσοφισταῖς καὶ τοῖς μάγοις συνέμιξεν. οὗτος τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν· οὐδὲν γὰρ ἔφασκεν οὔτε καλὸν οὔτε αἰσχρὸν οὔτε δίκαιον οὔτε ἄδικον. καὶ ὁμοίως ἐπὶ πάντων μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τοὺς ἀνθρώπους

LVI. Diog. IX, 61 φασὶ δὲ αὐτὸν — ἐψηφίσθη 63—64, εὐσεβῶς — exit. 66.

1 Cf. Meineke III, p. 302 2 ὅτι ποτέ ἐστιν vulg. οὐ σὺ ABa οὗ σὺ am 4 δέσποτ' A Diogenes (codd. BVH in apparatu W.) δέσποτα Ba vulg. Or. τοῦ om. B (et omnes libri W.) πρόσεχε δή add. Diogenes 5 τὰ δὲ ψεύδη — ἀποφαίνεται om. A (propter bis usurpatum ἀποφαίνεται a linea aberrans) 6 ψευδῆ Ba Diogenes ψεύδη Or. Müller 7 διὰ δύο προσώπων A (certe e coniectura propter insequentem lacunam) 8 τοῦ Ἀθ. ξένου — Ἐλ. ξένου om. ABa ex Diogene inseruit Iunius 17 ἀκαταληψίας AB Diogenes καταληψίας a corr. Iunius

πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον. φασὶ δὲ αὐτὸν ἐκπατεῖν καὶ ἐρημάζειν, σπανίως ἐπιφαινόμενον τοῖς οἴκοι. τοῦτο δὲ ποιεῖν ἀκούσαντα Ἰνδοῦ τινος ὀνειδίζοντος Ἀναξάρχῳ, ὡς οὐκ ἂν ἕτερόν τινα διδάξαι οὗτος ἀγαθόν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. ἀεί τε εἶναι ἐν τῷ αὐτῷ καταστήματι, ὥστε, εἰ καί τις αὐτὸν καταλίποι μεταξὺ λέγοντα, αὐτῷ διαπεραίνειν τὸν λόγον. πολλάκις δὲ καὶ ἀπεδήμει μηδενὶ προειπών. καὶ συνερέμβετο οἷστισιν ἤθελε. καταληφθεὶς δέ ποτε αὐτῷ λαλῶν καὶ ἐρωτηθεὶς τὴν αἰτίαν, ἔφη, μελετᾶν χρηστὸς εἶναι. ἐν ταῖς ζητήσεσιν ὑπ' οὐδενὸς κατεφρονεῖτο διὰ τὸ ἐξοδικῶς λέγειν καὶ πρὸς ἐρώτησιν. οὕτω δ' ὑπὸ τῆς πατρίδος ἐτιμήθη, ὥστε καὶ ἀρχιερεὺς κατέστη καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλεια ἐψηφίσθη. εὐσεβῶς καὶ τῇ ἀδελφῇ συνεβίω μαιευούσῃ. καὶ φέρων εἰς τὴν ἀγορὰν ἐπίπρασκεν ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια. καὶ τὰ ἐπὶ τῆς οἰκίας ἐκάθαιρεν ἀδιαφόρως. καὶ χολήσας τι περὶ τῆς ἀδελφῆς (Φιλίστα δ' ἐκαλεῖτο) πρὸς τὸν ἐπιλαβόμενον εἶπεν· ὡς οὐκ ἐν γυναίῳ ἐπίδειξις τῆς ἀδιαφορίας. καὶ κυνός ποτε ἐπενεχθέντος, διασοβηθεὶς εἶπε

---

8 δὲ καὶ ABa vulg. τε καὶ Or. Müller πολλάκις, φησί, καὶ ἀπεδήμει Diogenes 12 διεξοδικῶς coni. Kuehnius, quod rec. Müller 15 εὐσεβῶς δὲ B 16 μαιευούσῃ A corr. etiam Iunius μαιονούσῃ Ba μαίᾳ οὔσῃ plurimi Diogenis libri praeter Arund., in quo legitur μαιούσῃ mox ἀγορὰν A Diogenes αὖρυν Ba quod corr. Iunius αὖρην Or. 19 δ' ἐκαλεῖτο A Diogenes ἐκαλεῖτο vulg. πρὸς τὸν ἐπιλαβόμενον A πρὸς δὲ τὸν λαβόμ. Ba πρὸς δὴ τὸν λαβόμ. Or. Müller πρὸς τ. λαβόμενον libri Diogenis πρὸς τὸν ἐπιλαβ. coni. Kuehnius 21 διασοβηθέντος libri omnes διασοβηθεὶς coni. Iunius rec. Müller διασοβηθέντα εἰπεῖν Diogenes

πρὸς τὸν αἰτιασάμενον, ὡς χαλεπὸν εἴη ὁλοσχερῶς ἐκδῦναι τὸν ἄνθρωπον. διηγωνίζετο δὲ πρῶτον μὲν ὡς οἷόν τε τοῖς ἔργοις πρὸς τὰ πράγματα, εἰ δὲ μή, τῷ γε λόγῳ.

## LVII. Ποτάμων.

Ποτάμωνα τὸν Μιτυληναῖον ῥήτορα εἰς τὴν πατρίδα ἐπανιόντα ποτὲ ὁ Καῖσαρ Τιβέριος τοιούτοις ἐφωδίασε γράμμασι· Ποτάμωνα τὸν Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσοι, σκεψάσθω, εἴ μοι δυνήσεται πολεμεῖν.

## LVIII. Σίβυλλα.

Σίβυλλα Ῥωμαϊκὴ λέξις ἐστίν, ἑρμηνευομένη προφῆτις, ὅθεν αἱ θήλειαι μάντιδες ἑνὶ ὀνόματι Σίβυλλαι ὠνομάζοντο. γεγόνασι δὲ Σίβυλλαι δέκα, ὧν πρώτη ἡ Χαλδαία, ἡ περὶ Χριστοῦ προφητεύσασα. εἰ δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐκ αὐτῆς ἡ αἰτία, ἀλλὰ τῶν ταχυγράφων, ἀσυμφθασάντων τῇ ῥύμῃ τοῦ λόγου. ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεγομένων μνήμη.

## LIX. Στησίχορος.

Στησίχορος ὁ λυρικὸς γράψας ψόγον Ἑλένης

LVII. Suidas (Eudocia p. 365). LVIII. Suidas (haec om. Eudocia p. 383; cf. Cramer, An. Par. I p. 332). LIX. Suidas (Eudocia p. 385).

1 ὁλοσχερῶς ἐκδῦναι AB ὁλοχερῶς a vulg. ὁλοσχ. om. Or. 3 εἰ δὲ μὴ ABa vulg. εἴ γε μὴν Or. 5 Ποτάμωνος — ἐπανιόντος Suidas Eudocia 6 τοιοῖσθε Suidas Eudocia ἐφωδίασε AB ἐφωδίαζε a vulg. 7 τὸν om. Suidas Eudocia 11 ἤγουν μάντις add. Suidas αἱ θήλειαι A 12 σίβυλλαι om. Suidas 13 προθεσπίσασα Suidas 14 ὅτι δὲ Suidas 15 οὐ συμφθασάντων et mox τῶν λεχθέντων Suidas ῥώμῃ Anecd. Par. 18 ὁ λυρικὸς —

ἐτυφλώθη. πάλιν δὲ γράψας Ἑλένης ἐγκώμιον ἀνέβλεψεν. ἐκλήθη δὲ Στησίχορος, ὡς πρῶτος κιθαρῳδίᾳ στήσας χορόν. πρότερον γὰρ Τισίας ἐλέγετο.

### LX. Σαπφώ.

Σαπφὼ ἡ Λεσβία δι' ἔρωτα Φάωνος τοῦ Μιτυληναίου ἐκ τοῦ Λευκάτα κατεπόντισεν ἑαυτήν.

### LXI. Σοφοκλῆς.

Σοφοκλῆς ὁ τραγικὸς μέλιττα ἐκαλεῖτο διὰ τὸ ἡδύ.

### LXII. Σώφρων.

Σώφρων Συρρακούσιος Ἀγαθοκλέους ἔγραψε καταλογάδην Δωρίδι διαλέκτῳ μίμους ἀνδρείους καὶ γυναικείους. καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ ἐντυγχάνειν αὐτοῖς, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἔσθ' ὅτε.

### LXIII. Στίλπων.

Στίλπων ὁ Μεγαρεὺς τοσοῦτον εὑρεσιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικροῦ δεῆσαι

LX. Suidas. LXI. Suidas. LXII. Suidas. LXIII. Diog. II, 113 τοῦτον ἀπεδέχετο — κατέτριβεν 115—118, οὗτος — καὶ γέγονεν 120, οὗτος ἀνῄρει — exit. 119.

---

ἀνέβλεψεν om. D Ἑλλένης B φασὶ δὲ αὐτὸν γράψαντα — τυφλωθῆναι Suidas 2 κιθαρῳδίᾳ A Eudocia ἐν κιθαρῳδίᾳ Ba vulg. κιθαρῳδίας Bernhardy cum cod. V 3 ἐπεί τοι πρότερον Suidas Eudocia 5 κατεπόντωσεν Suidas 8 Συρρακούσιος ABa vulg. Συρακούσιος Suidas (cf. LXXII) καὶ Δαμνασυλλίδος add. Suidas 10 φασι AB φασιν a vulg. 13 Στίλπνων Ba vulg. τοσοῦτον ABa vulg. Diogenes τοιοῦτον Or. Müller εὑρεσιλογίᾳ A εὑρεσιολογίᾳ deteriores Diogenis libri εὑρησιλογίᾳ Ba vulg. Or. Müller

πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι. ἀπέσπασε μὲν οὖν καὶ ἄλλους πολλούς, Δίφιλον δὲ τὸν Βοσποριανὸν καὶ Μύρμηκα τὸν Ἐξαινέτου, παραγενομένους ὡς ἐλέγξοντας, ζηλωτὰς ἔσχε. τοῦτον ἀπεδέχετο καὶ Πτολεμαῖος ὁ Σωτὴρ καὶ ἐγκρατὴς Μεγάρων γενόμενος ἐδίδου τε ἀργύριον αὐτῷ καὶ παρεκάλει εἰς Αἴγυπτον συμπλεῖν. ὁ δὲ μέτριον μέν τι τἀργυριδίου προσήκατο, ἀρνησάμενος δὲ τὴν ὁδὸν μετῆλθεν εἰς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. ἀλλὰ καὶ Δημήτριος ὁ Ἀντιγόνου καταλαβὼν τὰ Μέγαρα τήν τε οἰκίαν αὐτοῦ φυλαχθῆναι καὶ πάντα τὰ ἁρπασθέντα προὐνόησεν ἀποδοθῆναι. ὅτε καὶ βουλομένῳ παρ' αὐτοῦ τῶν ἀπολωλότων ἀναγραφὴν λαβεῖν, ἔφη μηδὲν τῶν ἰδίων ἀπολωλεκέναι· παιδείαν γὰρ μηδένα ἐξενηνοχέναι, τόν τε λόγον ἔχειν καὶ τὴν ἐπιστήμην. καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων εὐεργεσίας, οὕτως εἷλεν, ὥστε προσέχειν αὐτῷ. ἦν δὲ ἀληθῶς κομψότατος καὶ ἀφελὴς καὶ ἀνεπίπλαστος, πρός τε τὸν ἰδιώτην εὔθετος. οὗτος ἰδὼν τὸν Κράτητα χειμῶνος συγκεκαλυμμένον, ὦ Κράτης, εἶπε, δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ, ἤτοι νοῦ καὶ ἱματίου. καὶ ὃς παρῳδήσας εἶπεν εἰς αὐτὸν οὕτω·

καὶ μὴν Στίλπων' εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα
ἐν μεγάροις, ὅθι φασὶ τυφωέος ἔμμεναι εὐνάς.

---

1 μεγαρίσας a 3 Εὐφάντου post Βοσπορ. add. Diogenes 19 συγκεκαυμένον Diogenes 20 καινοῦ scripsi cum Diogene καὶ νοῦ ABa vulg. idem ὅπερ ἦν pro ἤτοι 22 Cf. Wachsmuth. de Timon. Phlias. p. 76 seq., quem secutus μεγάροις et τυφωέος reposui Μεγάροις — Τυφωέως libri Μεγάροις — Τυφωέος Bergk. Poet. Lyr. p. 668 23 ἔχοντ' ἄλγεα Ba

*ἔνθα τ' ἐρίζεσκεν, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι,*
*τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.*

*οὗτος ὁ Στίλπων γηράσας καὶ νοσήσας οἶνον προσήκατο, ὡς τάχιον ἀποθάνῃ, ὃ καὶ γέγονεν. οὗτος ἀνῄρει τὰ εἴδη καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον εἶναι μηδένα· οὔτε γὰρ τόνδε λέγειν οὔτε τόνδε· τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; οὐδ' ἄρα τόνδε. καὶ πάλιν· τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον· λάχανον γὰρ ἦν πρὸ μυρίων ἐτῶν, οὐκ ἄρα ἐστὶ τοῦτο λάχανον.*

## LXIV. *Τίμαιος.*

*Τίμαιος ὁ Ταυρομενείτης γραοσυλλέκτρια ἐλέγετο διὰ τὸ τὰ τυχόντα ἀναγράφειν.*

## LXV. *Τιμόλαος.*

*Τιμόλαος ὁ Λαρισσαῖος ῥήτωρ ἐδιπλασίασε τὴν Ἰλιάδα παρεμβαλὼν στίχον πρὸς στίχον. ἔχει δὲ οὕτως·*

*μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος,*
*ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης,*
*οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε*

LXIV. Suidas. LXV. Suidas.

---

1 *ἔνθα τ' ἐρίζεσκε* A Diogenes *ἔνθεν τ' ἐρίζεσκε* Ba vulg. *ἐνθάδ' ἐρίζεσκεν* Or. Müller *ἔνθα τ' ἐρίζεσκεν* scripsit Menagius 2 *διώκοντες* ABa Diogenes *διώκοντος* Or. quod commendaverat Iunius *κατέτριβον* ABa Diogenes *κατέτριβεν* Or. 3 *οἶνον προσηνεγκάμενον* Diogenes, unde *προσηνέγκατο* corrigendum suspiceris 5 *καὶ τὰ εἴδη* Diogenes 6 *οὔτε γὰρ* ABa vulg. Diogenes *οὐδὲ* Or. *λόγειν* B 7 *οὔτε ἄρα* libri omnes *οὐδ' ἄρα* Diogenes 8 *λάχανον μὲν γὰρ* Diogenes 10 *ὁ Ταυρομ.* ABa vulg. *ὁ* om. Meursius Or. Müller 13 *παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον* Suidas 17 *μυρί'* ABa *μύρι'* Meursius Or. *ἔθηκεν* Aa *ἔθηκε* B vulg.

μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος. πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί.

LXVI. Τριβωνιανός.

Τριβωνιανὸς κολακεύων Ἰουστινιανὸν βασιλέα ἔπειθεν αὐτόν, ὅτι οὐκ ἀποθανεῖται, ἀλλὰ μετὰ σαρκὸς εἰς οὐρανοὺς ἁρπαγήσεται. ἦν δὲ ὁ Τριβωνιανὸς Ἕλλην καὶ ἄθεος.

LXVII. Τυρταῖος.

Τυρταῖόν φασι τὸν ἐλεγειοποιὸν τοῖς μέλεσι χρησάμενον, ὅτε Λακεδαιμόνιοι Μεσηνίοις ἐπολέμουν, παροτρῦναι Λακεδαιμονίους καὶ ταύτῃ ἐπικρατεστέρους ποιῆσαι.

LXVIII. Τυραννίων.

Τυραννίων ὁ Ἀμισηνός, Θεόφραστος πρὶν καλούμενος, μετεκλήθη Τυραννίων, ὡς κατατρέχων τῶν ὁμοσχόλων. οὗτος αἰχμάλωτος ὑπὸ Λουκούλλου ληφθεὶς καὶ πλούσιος ἐν Ῥώμῃ γενόμενος ἐκτήσατο βιβλίων ὑπὲρ τὰς τρεῖς μυριάδας.

LXIX. Ὑπατία.

Ὑπατία ἡ Θέωνος θυγάτηρ, τοῦ Ἀλεξανδρέως

LXVI. Suidas. LXVII. Suidas. LXVIII. Suidas. LXIX. Suidas.

---

2 δ' ἐφθίμους a δ' ἰφθίμους am 6 οὐρανοὺς A οὐρανὸς B εἰς τοὺς οὐρανοὺς Suidas εἰς οὐρανὸν a vulg. ἀναληφθήσεται Suidas 8 ὃν λόγος τοῖς μέλεσι παροτρῦναι Λακεδαιμονίους πολεμοῦντας Μεσσηνίοις Suidas Μεσηνίοις AB Μεσσηνίοις a vulg. Cf. Steph. Byz. s. v. ἡ Μέση, Μεσήνη, ὥς τινες 12 Ἐμισηνὸς perperam libri omnes Ἀμισηνὸς legendum recte monuit Müller 14 αἰχμάλωτος A Λουκούλου Ba 15 διαπρεπὴς δὲ καὶ πλούσιος Suidas 16 βιβλίον a βιβλίων am

φιλοσόφου, καὶ αὐτὴ φιλόσοφος, διεσπάσθη ὑπὸ Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλης τῆς πόλεως διεσπάρη. τοῦτο δὲ πέπονθε διὰ τὴν ὑπερβάλλουσαν σοφίαν καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίας.

## LXX. *Φαίδων.*

*Φαίδων* Ἠλεῖος, ὁ Σωκράτους μαθητής, αἰχμάλωτος ὑπὸ Ἰνδῶν ληφθείς, εἶτα πραθεὶς πορνοβοσκῷ τινι, προέστη ὑπ' αὐτοῦ πρὸς ἑταίρησεν ἐν Ἀθήναις. ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ ἠράσθη τῶν λόγων αὐτοῦ καὶ αἰτεῖ λύσασθαι. ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν, καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. οὗτος ἦρξε τῆς ἀπ' αὐτοῦ κληθείσης Ἠλειακῆς αἱρέσεως, ἥτις ὕστερον ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη.

## LXXI. *Φερεκύδης.*

*Φερεκύδην* τὸν Σύριον (ἔστι δὲ μία τῶν Κυκλάδων νήσων ἡ Σύρα) φασὶν οὐ σχεῖν διδάσκαλον, ἀλλ' ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. οὗτος πρῶτος τὸν περὶ μετεμψυχώσεως λόγον εἰσήνεγκε. γέγονε δὲ φθειρόβρωτος.

## LXXII. *Φιλήμων.*

*Φιλήμων* ὁ Συρρακούσιος ὑπὸ σφοδροῦ γέλωτος

LXX. Suidas (haec om. Eudocia p. 425). LXXI. Suidas (Eudocia p. 425). LXXII. Suidas v. *Φιλ.* et *Φιλιστίων* (Eudocia p. 427).

---

2 *καθ' ὅλην τὴν* Suidas 3 *διὰ φθόνον καὶ* Suidas 4 *ἀστρονομίαν* Suidas 7 *προὔστη* A 12 *ὑπὸ Μεν.* libri *ἀπὸ Μεν.* Suidas 15 fort. leg. *ἡ Σῦρος*, quam formam unicam probavit Steph. Byz. *φασὶ μὴ σχεῖν* AB *φασὶν οὐ* a vulg. *ἀλλ' ἑαυτὸν ἀσκῆσαι* add. ABa vulg. Suidas om. Or. (casu fort.) 19 *Συρρακούσιος* AB *Συρακούσιος* a vulg. codicis praestantioris scripturam servavi

*ἐτελεύτησεν, ὡς δὴ καὶ Φιλιστίων ὁ Νικαεύς, εἰς ὃν καὶ ἔστι τοῦτο τὸ ἐπίγραμμα·*

*ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον*
*γέλωτι κεράσας Νικαεὺς Φιλιστίων.*

*οὗτος ἔγραψε τὸν Φιλόγελων.*

## LXXIII. Φιλίσκος.

*Φιλίσκον τὸν Μιλήσιον ῥήτορα, πρότερον αὐλητὴν ὄντα, παραδοξότατον, Ἰσοκράτης ὁ ῥήτωρ αὐλοτρύπην ἐκάλεσεν.*

## LXXIV. Φιλητᾶς.

*Φιλητᾶς ὁ Κῷος ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον ψευδόμενον λόγον ἀπέθανε.*

## LXXV. Φίλων.

*Φίλων ὁ Ἑβραῖος τοσαύτην πρὸς Πλάτωνα ὁμοιότητα ἔσχε κατά τε φράσιν καὶ διάνοιαν, ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι· ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει.*

## LXXVI. Φιλόστρατος.

*Φιλόστρατος ὁ Λήμνιος, ὁ τὰς εἰκόνας γράψας,*

LXXIII. Suidas (Eudocia p. 423). LXXIV. Suidas (Eudocia p. 424). LXXV. Suidas (Eudocia p. 425). LXXVI. Suidas (Eudocia p. 423).

---

1 *ὡς δὲ* ABa *ὡς δὴ* tacite Meursius, quod rec. Or. Müller (quae sequuntur ex Philistionis vita desumpta sunt) 2 Anthol. Pal. VII, 155, ubi extremi versus extant: *ἐνταῦθα κεῖμαι, λείψανον παντὸς βίου, | πολλάκις ἀποθανών, ὧδε δ' οὐδεπώποτε* 4 *μίξας* omnes Hesychii libri, quod glossemati debetur *κεράσας* Suidas Eudocia *κεράσας γέλωτι* Suidae cod. A *Νικαεὺς* AB a vulg. *Νικαιεὺς* Or. Müller 6 tit. om. A 8 *ἐκάλει* Suidas Eudocia 12 *ἔσχεν* A *ὡς καὶ* ABa *καὶ* om. Meursius Or. Müller

*υἱὸς ἦν τοῦ πρώτου σοφιστοῦ Φιλοστράτου Λημνίου. οὗτος ὁ δεύτερος ἐσοφίστευσεν ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ ἐπὶ Σεβήρου τοῦ βασιλέως.*

LXXVII. *Χοιρίλος.*

*Χοιρίλος Σάμιος ποιητὴς ἔγραψε τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη.*

LXXVIII. *Χρύσιππος.*

*Χρύσιππον τὸν φιλόσοφον αἰτιῶνταί τινες προνοεῖν λέγοντα, ὅπως ποριστέον τῷ σοφῷ. φασὶ γάρ· τίνος χάριν ποριστέον αὐτῷ; εἰ μὲν γὰρ τοῦ ζῆν ἕνεκα, ἀδιάφορον τὸ ζῆν, εἰ δὲ ἡδονῆς, καὶ αὕτη ἀδιάφορον, εἰ δὲ τῆς ἀρετῆς, αὐτάρκης αὕτη πρὸς εὐδαιμονίαν. καταγέλαστοι δέ, φασι, καὶ οἱ τρόποι τοῦ πορισμοῦ, οἷον οἱ ἀπὸ βασιλέως, εἴκειν γὰρ αὐτῷ δεήσει, καὶ οἱ ἀπὸ φιλίας, λήμματος γὰρ ὤνιος ἡ φιλία ἔσται, καὶ οἱ ἀπὸ σοφίας, μισθαρνήσει γὰρ ἡ σοφία. τοῦτον τὸν Χρύσιππόν φασιν ἧξαι ἐπὶ φιλοσοφίαν, τῆς οὐσίας αὐτοῦ τῆς πατρῴας εἰς τὸ βασιλικὸν ἀναληφθείσης.*

*Τέλος.*

LXXVII. Suidas (haec om. Eudocia p. 437). LXXVIII. Diog. VII, 188 *φασὶ γὰρ — ἡ σοφία* 189, *τοῦτον* — exit. 181.

---

4 *Χοίριλλος* A *Χοιρίλος* vulg. 8 *ἐν δὲ τῷ δευτέρῳ περὶ βίου καὶ πορισμοῦ προνοεῖν λέγων, ὅπως ποριστέον τῷ σοφῷ* Diogenes 11 *αὐτὴ* Hesychii libri 12 *ἀδιάφορον* libri omnes *ἀδιάφορος* Diogenes 13 *φασι* om. Diogenes 19 Ad calcem add. B *Ἡσυχίου Μιλησίου περὶ τῶν ἐν παιδείᾳ διαλαμψάντων σοφῶν.*

## Index scriptorum ab Anonymo laudatorum.

Achaeus (ἐκ τῆς σατυρικῆς Ὀμφάλης) — Μενέδημος (Nauck. frag. trag. p. 583).
Alcimus — Πλάτων.
Alexis — Πλάτων (Meineke III, p. 451 et 382).
Amphis (Ἀμφικράτει) — Πλάτων (Meineke III, p. 302).
Anaxandrides — Πλάτων (Meineke III, p. 170).
Aristippus — Αἰσχίνης.
Crates — Μενέδημος (Wachsmuth. de Timon. Phlias. p. 77) Στίλπων (ibidem p. 76 seq.).
Diogenes Laertius — Ἀντισθένης (Anthol. Pal. VII, 115) nomine non addito Ἀλεξῖνος, Βίων, Διόδωρος, Ἐμπεδοκλῆς, Φιλήμων.
Epicharmus — Πλάτων (Mullach. frag. phil. I, p. 146).
Epigrammata — Ἐμπεδοκλῆς (VII, 106), Ἡράκλειτος (VII, 128; IX, 546), Φιλήμων (VII, 155).
Lycophron — Μενέδημος (Nauck. frag. trag. p. 636).
Theopompus — Πλάτων (Meineke II, 2 p. 796).
Timon — Ἀρκεσίλαος (Wachsmuth. p. 57), Ἐμπεδοκλῆς (p. 69), Μενέδημος (p. 60), Πλάτων (p. 53 et 68).

# Index vitarum

**quo numeri Orelliani meique inter se comparantur.**

| | | Or. | Fl. |
|---|---|---|---|
| 1 | Apollonius Tyaneus | 2 | 1 |
| 2 | Aristeas Proconnesus | — | — |
| 3 | Aeschines Socraticus | — | 2 |
| 4 | Aristippus | 4 | — |
| 5 | Alexinus | — | 3 |
| 6 | Aristoteles | — | 4 |
| 7 | Antisthenes | 8 | 7 |
| 8 | Arcesilaus | 10 | 9 |
| 9 | Archytas | 12 | 11 |
| 10 | Archytas musicus | — | — |
| 11 | Anaxarchus Abderita | — | — |
| 12 | Aesopus | 14 | 12 |
| 13 | Bion | — | — |
| 14 | Bion Abder. | — | 13 |
| 15 | Genethlius | — | — |
| 16 | Daphidas | — | — |
| 17 | Diagoras | 16 | 14 |
| 18 | Diodorus Iasius | — | — |
| 19 | Demetrius Phalereus | — | 15 |
| 20 | „ Ixion | 18 | 16 |
| 21 | Didymus | — | — |
| 22 | Draco | — | — |
| 23 | Democritus | — | — |
| 24 | Diogenes Apolloniates | 20 | 18 |
| 25 | Epimenides | — | — |
| 26 | Hermogenes rhetor | — | — |
| 27 | Eratosthenes | — | 19 |
| 28 | Euripides | — | — |
| 29 | Euclides Megarensis | — | — |
| 30 | Epicurus | — | 20 |
| 31 | Empedocles | 22 | 22 |
| 32 | Zeno Cittieus | — | 23 |
| 33 | „ Eleates | 24 | 24 |
| 34 | Heraclitus | — | — |
| 35 | Theodorus ἄθεος | 30 | 28 |
| 36 | „ Samius | — | 29 |
| 37 | Theophrastus | — | — |
| 38 | Hippasus | 32 | — |
| 39 | Carneades | — | 30 |
| 40 | Crates | — | — |
| 41 | Crantor | 32 | — |
| 42 | Cleanthes | — | 31 |
| 43 | Leucippus | 34 | 32 |
| 44 | Menedemus | 36 | 34 |
| 45 | Melissus | 40 | 38 |
| 46 | Nicolaus Damascenus | — | 39 |
| 47 | Numenius | — | — |
| 48 | Nestor | 42 | — |
| 49 | Xanthus | — | 40 |
| 50 | Xenocrates | — | — |
| 51 | Xenophanes | — | — |
| 52 | Homerus | 44 | 41 |
| 53 | Palamedes | — | — |
| 54 | Pindarus | — | — |
| 55 | Plato | — | 42 |
| 56 | Pyrrho | 48 | 46 |
| 57 | Potamon | 50 | 48 |
| 58 | Sibylla | — | — |
| 59 | Stesichorus | — | — |
| 60 | Sappho | 52 | 49 |

| | | Or. | Fl. |
|---|---|---|---|
| 61 | Sophocles | 52 | 49 |
| 62 | Sophron | — | — |
| 63 | Stilpo | — | — |
| 64 | Timaeus | 54 | 51 |
| 65 | Timolaus | — | — |
| 66 | Tribonianus | — | 52 |
| 67 | Tyrtaeus | — | — |
| 68 | Tyrannio | — | — |
| 69 | Hypatia | — | — |
| 70 | Phaedon | 56 | 53 |
| 71 | Pherecydes | — | — |
| 72 | Philemon | — | — |
| 73 | Philiscus | — | 54 |
| 74 | Philetas | — | — |
| 75 | Philo Iudaeus | — | — |
| 76 | Philostratus | — | — |
| 77 | Choerilus | 58 | 55 |
| 78 | Chrysippus | — | — |

a

| | Mk. | Pf. |
|---|---|---|
| Gellius, 2 voll. | 3 | 30 |
| Hieronymus de viris inlustr. | 2 | 40 |
| Historia Apollonii regis Tyri | 1 | — |
| Horatii carmina | 1 | — |
| Hygini Grom. liber | — | 75 |
| Incert. auct. de Const. Magno | — | 60 |
| Jurisprudentiae anteiust. reliq. | 6 | 75 |
| Justinianus | 1 | — |
| Justinus | — | 90 |
| Juvenalis satirae | — | 45 |
| Livii opera, 6 voll. (à 1 Mark) | 6 | — |
| Lucretius | 1 | 50 |
| Macrobius | 5 | 40 |
| Martialis epigrammata | 1 | 50 |
| Martianus Capella | 4 | 50 |
| Mela, Pomponius | 1 | 20 |
| Metrologici scriptores, 2 voll. | 5 | 10 |
| Mureti scripta selecta, 2 voll. | 2 | 40 |
| Ovidii opera, 3 voll. | 2 | 90 |
| Panegyrici latini | 3 | 60 |
| Persius | — | 30 |
| Phaedri fabulae | — | 30 |
| Plauti comoediae, 2 voll. | 2 | 70 |
| Plini epistolae | 1 | 20 |
| Plinii nat. hist., 6 voll. | 13 | 20 |
| Plinius et Gargilius | 2 | 70 |
| Poetae latini min. Vol. I. & II | 4 | 50 |
| Porphyrion | 4 | 20 |
| Propertii carmina | — | 60 |
| Quintiliani inst., 2 voll. | 2 | 40 |
| Quintiliani inst., lib. X | — | 30 |
| Rutilius Namatianus | — | 75 |
| Sallustius | — | 45 |
| Scriptores hist. Aug., 2 voll. | 5 | 10 |
| Senecae opera philos., 3 voll. | 7 | 80 |
| Senecae tragoediae | 4 | 50 |
| Seneca rhetor | 4 | 50 |
| Statius. Vol. I. Siluae | 1 | 80 |
| — Vol. II. Fasc. I. Achilleis | — | 75 |
| Suetonius | 1 | 50 |
| Taciti opera, 2 voll. | 2 | 40 |
| — libri minores | — | 45 |
| Terenti comoediae | 1 | 20 |
| Tibulli carmina | — | 80 |
| Ulpianus | — | 75 |
| Valerius Flaccus | 1 | 50 |
| Valerius Maximus | 3 | 75 |
| Velleius Paterculus ed. Halm | 1 | — |
| Vegetius | 3 | — |
| Virgilii opera | 1 | 35 |
| — Bucolica et Georgica | — | 45 |
| — Aeneis | — | 90 |

# Schulausgaben griechischer und lateinischer Klassiker

mit deutschen erklärenden Anmerkungen.

| | Mk. | Pf. |
|---|---|---|
| **Aeschylos' Agamemnon.** Von Rob. Enger und Gilbert. 2. Aufl. | 2 | 25 |
| — **Perser.** Von W. S. Teuffel. 2. Aufl. | 1 | 20 |
| — **Prometheus.** Von N. Wecklein. 2. Aufl. | 1 | 80 |
| — **Prometheus.** Von L. Schmidt | 1 | 20 |
| **Anthologie aus den Lyrikern der Griechen.** Von E. Buchholz. 2 Bdchn. | 3 | — |
| **Aristophanes, die Wolken.** Von W. S. Teuffel | 1 | 50 |
| **Arrian's Anabasis.** Von Dr. K. Abicht. 2 Hefte. Mit 1 Karte | 4 | 05 |
| **Caesaris commentarii de bello Gallico.** Von A. Doberenz. 7. Aufl. | 2 | 25 |
| — — **de bello civili.** Von A. Doberenz. 4. Aufl. | 1 | 80 |
| **Chrestomathia Ciceroniana.** Von C. F. Lüders. 2. Aufl. | 2 | 70 |
| **Ciceronis de officiis libri tres.** Von J. v. Gruber. 3. Aufl. | 1 | 50 |
| — **Laelius.** Von G. Lahmeyer. 3. Aufl. | — | 60 |
| — **Cato major.** Von G. Lahmeyer 4. Aufl. | — | 60 |
| — **Cato major.** Von C. Meissner | — | 45 |
| — **Somnium Scipionis.** Von C. Meissner. 2. Aufl. | — | 45 |
| — **Tusculanarum disp. libri V.** Von O. Heine. 2. Aufl. | 2 | 25 |
| — **de finibus bonorum et malorum.** Von H. Holstein | 2 | 70 |
| — **Rede für Cn. Plancius.** Von E. Köpke. 2. Aufl. | 1 | 20 |
| — **Rede für P. Sestius.** Von H. A. Koch u. A. Eberhard. 2. Aufl. | — | 90 |
| — **Rede für Sex. Roscius.** Von Fr. Richter u. A. Fleckeisen. 2. Aufl. | — | 90 |
| — **Rede für T. Annius Milo.** Von Fr. Richter. 2. Aufl. | — | 90 |
| — **divinatio in Q. Caecilium.** Von Fr. Richter | — | 45 |
| — **Rede gegen C. Verres. IV. Bch.** Von Fr. Richter u. Eberhard. 2. Aufl. | 1 | 20 |
| — — **V. Buch.** Von Fr. Richter u. Eberhard. 2. Aufl. | 1 | 20 |
| — — **für P. Sulla.** Von Fr. Richter | — | 60 |
| — **Reden gegen L. Catilina.** Von Fr. Richter u. A. Eberhard. 3. Aufl. | 1 | — |
| — — **f. Marcellus, Ligarius u. Deiotarus.** V. Fr. Richter u. Eberh. 2. Aufl. | — | 90 |
| — **Rede für L. Murena.** Von H. A. Koch | — | 75 |
| — — **üb. d. Imper. d. Cn. Pompejus.** Von Fr. Richter u. Eberhard. 2. Aufl. | — | 60 |
| — **Erste und zweite Philippische Rede.** Von Koch u. Eberhard. 2. Aufl. | — | 90 |
| — **Rede f. d. Dichter Archias.** Von Fr. Richter u. A. Eberhard. 2. Aufl. | — | 45 |
| — **de oratore.** Von K. W. Piderit. 5. Aufl. Von Adler | 4 | 50 |
| — **Orator.** Von K. W. Piderit. 2. Aufl. | 2 | — |
| — **Brutus de claris oratoribus.** Von K. W. Piderit. 2. Aufl. | 2 | 25 |
| — **Partitiones oratoriae.** Von K. W. Piderit | 1 | — |
| — **Ausgewählte Briefe.** Von Josef Frey. 2. Aufl. | 2 | 25 |
| **Cornelius Nepos.** Von J. Siebelis u. Jancovius. 9. Aufl. | 1 | 20 |
| **Curtius Rufus.** Von Th. Vogel. I. Bändchen. Buch III—V. 2. Aufl. | 2 | 10 |
| — — II. Bändchen. Buch VI—X. Mit 1 Karte. 2. Aufl. | 2 | 25 |
| **Demosthenes' neun philippische Reden.** Von C. Rehdantz. 1. Heft. 5. Aufl. | 1 | 20 |
| — — 2. Heft. I. Abth. 4. Aufl. *M.* 1. 50., II. Abth. Indices. 3. Aufl. | 1 | 57 |
| **Elegie, die Römische.** Von B. Volz. 2. Aufl. | 1 | 80 |
| **Euripides' Phoenissen.** Von G. Kinkel | — | 80 |

| | Mk. | Pf. |
|---|---|---|
| **Euripides' Medea.** Von N. Wecklein. 2 Aufl. | 1 | 80 |
| — **Iphigenia im Taurierland.** Von N. Wecklein | 1 | 50 |
| — **die Bacchen.** Von N. Wecklein | 1 | 50 |
| **Herodotos.** Von Dr. K. Abicht. I. Band. 3. Aufl. 1. Heft. Buch I. nebst Einleitung und Uebersicht über den Dialekt 1 Mk. 80 Pf. 2. Heft. Buch II | 1 | 50 |
| — II. Band. Buch III. u. IV. 2. Aufl. | 2 | 40 |
| — III. Band. Buch V. u. VI. 2. Aufl. IV. Band. Buch VII. 2. Aufl. à | 1 | 80 |
| — V. Band. Buch VIII. u. IX. 2. Aufl. Mit 2 Karten | 1 | 80 |
| **Homer's Odyssee.** Von K. Fr. Ameis und C. Hentze. 2 Bände in 4 Heften. 6. u. 7. Aufl. Jedes Heft à 6 Gesänge | 1 | 35 |
| — — Anhang. 1. Heft 1 Mk. 50 Pf. 2., 3. u. 4. Heft à | 1 | 20 |
| — **Ilias.** V. K. Fr. Ameis. 1.u.2.Hft. 2.Aufl. à 90 Pf. 3.u.4.Hft. u. II.Bd. 1.Hft. à | 1 | 20 |
| — — Anhang. 1. Heft 1 Mk. 50 Pf. 2. Heft 75 Pf. 3., 4. u. 5. Heft à | 1 | 20 |
| **Homer's Ilias.** Von J. La Roche. 6 Hefte, je 4 Gesänge. 1—6. Heft. 2. Aufl. à | 1 | 50 |
| **Horaz, Oden und Epoden.** Von C. W. Nauck. 10. Aufl. | 2 | 25 |
| — **Satiren und Episteln.** Von G. T. A. Krüger. 9. Aufl. | 2 | 70 |
| — **Sermonen.** Von A. Th. H. Fritzsche. 2 Bände | 4 | 40 |
| **Isocrates' ausgewählte Reden.** Von O. Schneider. I. Bdchn.: Demonicus. Euagoras, Areopagiticus. 2. Aufl. | 1 | 20 |
| — — II. Bändchen: Panegyricus und Philippus. 2. Aufl. | 1 | 50 |
| **Livi, Titi,** ab urbe condita liber I. Von M. Müller | 1 | — |
| — — liber II. Von M. Müller | 1 | 50 |
| — — lib. XXI u. XXII. Von L. Wölfflin. Jedes Buch à | 1 | 20 |
| — — lib. XXIV. Von J. Müller. *M.* 1.— Buch XXV von dems. | 1 | 20 |
| **Lucian, ausgewählte Dialoge.** Von C. Jacobitz. I. Bdchn.: Traum. Timon. Prometheus. Charon | 1 | — |
| — — II. Bdchn.: Die Todtengespräche. Göttergespräche. Der Hahn | 1 | 20 |
| — — III. Bdchn.: Demonax. Der Fischer. Anacharsis | 1 | 20 |
| **Lykurgos.** Von C. Rehdantz | 2 | 25 |
| **Lysias' ausgewählte Reden.** Von H. Frohberger. I. Bändchen | 1 | 80 |
| — — II. und III. Bändchen à | 1 | 50 |
| — — kleinere Ausgabe in 1 Band [oder 2 Heften à 1 Mk. 50 Pf.] | 3 | — |
| **Ovid's Metamorphosen.** Von J. Siebelis. 2 Hefte. 10. u. 9. Aufl. à | 1 | 50 |
| — **Fasten.** Von H. Peter. 2. Aufl. 2 Hefte | 3 | 60 |
| **Phaedri fabulae.** Von J. Siebelis. 5. Aufl. Von F. A. Eckstein | — | 75 |
| **Plato's ausgewählte Schriften.** I. Bändchen: Die Vertheidigungsrede des Sokrates. Kriton. Von Chr. Cron. 7. Aufl. | 1 | — |
| — — II. Bändchen: Gorgias. Von J. Deuschle. 3. Aufl. | 1 | 80 |
| — — — Anhang | — | 90 |
| — — III. Bändchen: Laches. Von Chr. Cron. 3. Aufl. | — | 60 |
| — — III. Bändchen, 2. Heft: Euthyphron. Von M. Wohlrab. 2. Aufl. | — | 45 |
| — — IV. Bändchen: Protagoras. Von J. Deuschle. 3. Aufl. | 1 | 20 |
| — — V. Bändchen: Symposion von Hug | 3 | — |
| — — VI. Bändchen: Phaedon von Wohlrab | 1 | 50 |
| **Plautus' ausgewählte Komödien.** Von E. J. Brix. I. Trinummus. 3. Aufl. | 1 | 20 |
| — — II. Bändchen: Captivi. 3. Aufl. III. Bändchen: Menaechmi. 3. Aufl. à | 1 | — |
| — — IV. Bändchen: Miles gloriosus | 1 | 50 |
| **Plutarch's Biographien.** Von O. Siefert. I. Bd.: Philopoemen u. Flamininus | — | 90 |
| — — II. Bändchen: Timoleon und Pyrrhos. 2. Aufl. | 1 | 50 |
| — — III. Bändchen: Themistocles und Pericles. Von Fr. Blass | 1 | 20 |
| — — IV. Bändchen: Aristides und Cato. Von Fr. Blass | — | 90 |
| — — V. Bändchen: Agis und Kleomenes. Von Fr. Blass | — | 90 |
| — — VI. Bändchen: Tiberius u. Gajus Grachus. Von Fr. Blass | — | 90 |
| **Quintiliani institutionis orat. liber X.** Von Dr. G. T. A. Krüger. 2. Aufl. | — | 75 |
| **Sophokles.** Von Gust. Wolff. I—IV. Theil: 2. Aufl. Aias. — Elektra. 3. Aufl. — Antigona. 3. Aufl. — König Oidipus. (Von L. Bellermann) à | 1 | 20 |
| **Supplementum lectionis Graecae.** Von C. A. J. Hoffmann | 1 | 50 |
| **Tacitus' Historien.** Von K. Heraeus. 2. u. 3. Aufl. 2 Bde. à | 1 | 80 |
| — **Annalen.** Von A. A. Draeger. 2. u. 3. Aufl. 2 Bände | 4 | 65 |
| — **Agricola.** Von A. A. Draeger. 3. Aufl. | — | 60 |
| — **Dialogus de oratoribus.** Von G. Andresen. 2. Aufl. | — | 90 |
| **Terenti Hauton Timorumenos.** Von W. Wagner. **Phormio.** Von Dziatzko. à | 1 | 20 |
| **Theokrit's Idyllen.** Von A. T. H. Fritzsche. 2. Aufl. | 2 | 40 |
| **Thukydides.** Von G. Böhme. 3. u. 4. Aufl. 4 Hefte. Jedes Heft à | 1 | 50 |
| **Vergil's Aeneide.** Von K. Kappes. 4 Hefte. (I. & II. Heft 2. Aufl.) à | 1 | 20 |
| — **Bucolica und Georgica.** Von K. Kappes | 1 | 50 |
| **Xenophon's Anabasis.** Von F. Vollbrecht. 6. Aufl. 2 Bde. à | 1 | 50 |
| — **Cyropädie.** Von L. Breitenbach. 3. Aufl. 2 Hefte. à | 1 | 50 |
| — **Griechische Geschichte.** Von B. Büchsenschütz. 3. Aufl. 2 Hefte à | 1 | 50 |
| — **Memorabilien.** Von R. Kühner. 2. Aufl. | 1 | 50 |

LIPSIAE TYPIS B. G. TEUBNERI.